ΤΑ ΑΝΘΗ ΤΟΥ ΠΑΡΑΔΕΙΣΟΥ

ΗΤΟΙ

ΑΚΟΛΟΥΘΙΑΙ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΑΝΘΙΜΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΝΙΚΟΜΗΔΕΙΑΣ

ΕΤΙ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΑΒΡΑ

ΚΑΙ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΟΥΒΕΝΑΛΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΚΑΙ ΣΥΜΠΛΗΡΩΣΙΣ ΑΚΟΛΟΥΘΙΩΝ ΤΙΝΩΝ ΑΠΟΣΤΟΛΩΝ ΚΑΙ ΑΓΙΩΝ,
ΕΤΙ ΔΕ ΚΑΙ ΥΜΝΟΙ ΤΙΝΕΣ ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ
ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

ΝΥΝ ΤΥΠΟΙΣ ΕΚΔΙΔΟΝΤΑΙ ΠΑΡΑ ΤΟΥ

ΙΩ. ΙΩΣΙΦΙΔΟΥ ΓΑΒΡΑ

Ἐπιμελείᾳ καὶ φροντίδι τοῦ Ἱερολογιωτάτου Ἱεροδιακόνου ΙΟΥΒΕΝΑΛΙΟΥ τοῦ Πρωτοψάλτου
τῆς ἐν Πειραιεῖ Μητροπολιτικῆς Ἐκκλησίας Ἁγίας Τριάδος.



ΣΥΛΛΟΓΗ ΝΙΚΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ
1890

«Πᾶσα σοφία παρὰ κυρίου, καὶ μετ' αὐτοῦ ἐστιν εἰς τὸν αἰῶνα.»
Σοφία Σειράχ. Κεφάλ. Α'.

«Εἰσακουσατέ μου υἱοὶ ὅσιοι καὶ βλαστήσατε ὡς ῥόδον φυόμενον ἐπὶ ῥεύματος ἀγροῦ, καὶ ὡς λίβανος εὐωδιάσατε, καὶ ἀνθήσατε ἄνθος ὡς κρίνον, διάδοτε ὀσμὴν καὶ αἰνέσατε ᾄσμα, εὐλογήσατε κύριον ἐπὶ πᾶσι τοῖς ἔργοις, δότε τῷ ὀνόματι αὐτοῦ μεγαλωσύνην, καὶ ἐξομολογήσασθε ἐν αἰνέσει αὐτοῦ, ἐν ᾠδαῖς χειλέων καὶ ἐν κινύραις, καὶ οὕτως ἐρεῖτε ἐν ἐξομολογήσει.»

Τοῦ Αὐτοῦ Κεφάλαιον λθ'.

«Ἐρευνᾶτε τὰς γραφάς, καθὼς εἶπεν ἐν Εὐαγγελίοις Χριστὸς ὁ Θεὸς ἡμῶν.»

Ἀσματικὸν δωδεκασύλλαβον ἀπὸ τῆς βίβλου ἔχων ἀκροστιχίδα.

ΑΝΘΙΜΟΣ ΠΡΩΤΟΣΥΓΚΕΛΛΟΣ ΓΑΒΡΑΣ

Ἄνθη τοῦ παραδείσου ὄντως κέκλημαι,
Νέκταρ Ἄσμα καὶ θείων ὕμνων πέπλησμαι,
Θείων ῥητῶν ὄψει με ἀρετῶν πλήρη,
Ἱερῶν τε βίων ἅμα καὶ μαρτύρων,
Μετὰ μέλος σὺ μελετῶν με ἐνθέρμως,
Ὅλην με ἀναγνοὺς πρόσφερε δὴ αἴνους,
Σὺν ᾄσμασί τε ὕμνοις ἀρετῶν πλήρη,
Ποιητῇ παντὸς ἐν σπηλαίῳ τεχθέντι,
Ῥᾷον ὡς σωθῇς καὶ παρ' οὗ λάβῃς στέμμα,
Ὡς λαμπρὰ ἄνθη καὶ θείους λόγους λάβε,
Τρύγησον μὲν καὶ καρποὺς τοὺς ἀμβροσίους,
Ὄντας ἐκ φυτῶν εὐθαλῶν καὶ ἀρίστων,
Σύλλεξον ὀσμὴν ὡς μέλισσα ἐκ τούτων,
Ὑακίνθων καὶ ἴων τῶν πορφυρέων,
Γαρυφάλων εὐωδεστάτων τουτίων,
Κρίνων τε λευκῶν καὶ ἡδυπνόων ῥόδων,
Εὐόσμων τῶν Ναρκίσσων ποικιλοχρόων,
Λυγίων καὶ τερπνοτάτων βοιωλίων,
Λάβε ἐξ ἀνθέων τούτων σύλλεξον πλοῦτον,
Ὄντων δαψιλῶν δωρεῶν οὐρανίων,
Σύναξον δὲ ἀρετὴν ἐκ βίων θείων,
Γνώσεων καὶ πνευματικῶν ἐξ ἀρίστων,
Ἀγαθῶν πάντως τῶν ἄνω οὐρανίων,
Βίων θείων σπεῦδε καὶ εἰς θεὸν θῦσον,
Ῥύσεταί σε ὁ ἀθάνατος ἐκ θανάτου,
Ἄναρχος θεὸς σὺν πατρὶ τῷ ἀνάρχῳ,
Σὺν αὐτοῖς καὶ τύχοις θείας βασιλείας.

ΜΑΚΑΡΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΣΤΡΑΤΟΥ ΦΥΛΛΟΓΗ ΝΤΟΡΗΣ

Οἱ ἑπόμενοι δεκατέσσαρες στίχοι ἀναφέρονται εἰς τὸν ἅγιον Θεόδωρον τὸν Γαβρᾶν οὗτινος τὸ θεῖον ὄνομα ἄρχεται ἀπὸ (Θ) καὶ ἔχον ἀριθμητικὴν σημασίαν ἤτοι τὸν ἕνατον ἀριθμόν· διὰ τοῦτο καὶ ἕκαστος αὐτῶν σύγκειται ἐξ ἐννέα συλλαβῶν.

Ὕμνον σοι προσφέρω τρισμάκαρ,
Ἀγώνων ἐκ τῶν σῶν καὶ ἄθλων,
Θεόδωρε σύναθλ' ἁγίων,
Ἀρετὰς πολλὰς γὰρ πρὶν ἔχων,
Ὡς ἀνθέων ῥόδων εὐώδων,
Θαυμάτων πλήρης νῦν ἰαμάτων,
Δέξαι μου τὸν αἶνον καὶ ὕμνον,
Ἁσμάτων ἅγιε τῶν θείων,
Ἃ δέ σοι προσφέρω ὡς δῶρον,
Ἄνθιμος καὶ θύτης τῶν θείων,
Σύγγονος Γαβρᾶς σὸς ἱκέτης,
Μεσίτης γενοῦ μοι τῷ πονοῦντι,
Ἄναρχον εἰς θεὸν τῶν ὅλων,
Ἵνα λάβω λύσιν πταισμάτων.

«Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν»
Ψαλ. ρμ΄.

«Ἐγκωμιαζομένου δικαίου, εὐφραινθήσονται λαοί.»
Σοφ. Σολομῶντος.

ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ ΕΥΣΕΒΕΣΙΝ.

Ὅσον ὁ ἄνθρωπος εὐεργετούμενος ἀκαταπαύστως ἀπὸ τὸν Θεόν, καὶ ἀπολαμβάνων τὰ ἄπειρά του ἐλέη τοσοῦτον γίνεται ὑπόχρεως ἀπείρως πρὸς αὐτόν, ὥστε νὰ ὁμολογῇ διὰ παντὸς μὲ ἄπειρον εὐγνωμοσύνην, ὅσα ἀπολαμβάνει καλὰ μὲ μεγάλην ἀφθονίαν, περισσεύων πάντοτε, καὶ μὴ ὑστερούμενος εἰς ὅ,τι ἔχει χρείαν ὡς φύσει ἐνδεὴς καὶ ἄπορος. Ἐπειδή, ἂν ἀποσιωπήσῃ τὰς πρὸς αὐτὸν χάριτας τοῦ Θεοῦ, γίνεται ἔνοχος μεγάλης κατακρίσεως, ὁποίαν ἔλαβον οἱ ἐννέα καθαρισθέντες λεπροὶ μὲ τὸ «Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν, οἱ δὲ ἐννέα ποῦ;» «οὐχ »εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ εἰ μὴ ὁ ἀλλο»εθνὴς οὗτος» (Λουκ. Κφ. ιζ΄). Διὰ τοῦτο ἀναγκαίως καὶ διὰ νὰ χαίρῃ τὴν ἀγάπην περισσότερον τοῦ Θεοῦ, πρέπει νὰ ὁμολογῇ διὰ λόγου τὰς ἀνωτέρας παντὸς λόγου καὶ ἐπαίνου χάριτας τοῦ Θεοῦ, τὸ ὁποῖον εἶναι κατὰ πολλὰ εὐπρόσδεκτον εἰς αὐτόν, καὶ περισσότερον, ὅταν γένηται εἰς τὰς κοινὰς συνελεύσεις, ὅπου συνερχόμενοι πολλοὶ μὲ εὐλάβειαν εἰς δοξολογίαν τοῦ Θεοῦ, ψάλλουσιν ὕμνους καὶ δοξολογίας, διηγούμενοι, ὅσα θαύματα ἐποίησε τὸν παλαιὸν καιρὸν δι' ὠφέλειαν τοῦ ἀνθρώπου, καὶ ὅσα ἐνεργεῖ καὶ τὴν σήμερον διὰ μέσου τῶν ἁγίων του πρὸς ἡμᾶς, εἰς δόξαν τοῦ Παναγίου του ὀνόματος.

Οὕτω, παραδείγματος χάριν εἰς τὴν Παλαιὰν Διαθήκην, ὅσα θαύματα ἀναγινώσκομεν, ὅτι ἔγειναν παρὰ τοῦ Θεοῦ, αὐτὰ ταῦτα διηγούμενοι μὲ εὐλάβειαν, τὰ ἐκφωνοῦμεν παῤῥησίᾳ μὲ μέλος, καθὼς πρῶτος ὁ Μωϋσῆς συνέθεσε τὴν διήγησιν αὐτῶν μὲ ἔντεχνον στιχουργίαν, διηγούμενος τὴν ἐλευθερίαν τοῦ Ἰσραη-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΨΥΧΟΛΟΓΙΑΣ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

λιτικοῦ λαοῦ, ἀπὸ τὴν τυραννίαν τοῦ Φαραὼ, καὶ ὅσα τεράστια ἔκαμεν εἰς τὴν ἔρημον ὁ Θεὸς δι' αὐτοῦ, ἐναντίον τῶν ἀλλοεθνῶν, ὅσοι ἐμπόδιζον τὴν διάβασιν τοῦ λαοῦ ἀπὸ τοῦ νὰ εἰσέλθῃ ἐλευθέρως εἰς τὴν γῆν τῆς Ἐπαγγελίας. Παρομοίως δὲ καὶ ὅσα εἰς τὴν ἐπὶ γῆς παρουσίαν του, χάριν τῆς σωτηρίας ἡμῶν, τὰ ὁποῖα εὐλαβῶς καὶ μεγαλοφώνως κηρύττοντες, ἀναπέμπομεν ἀξιόχρεον δοξολογίαν, εὐπρόσδεκτον διὰ τὴν εὐλάβειάν μας, καὶ γέμουσαν πολλῶν ἀντιμισθιῶν, τὰς ὁποίας κατὰ τὴν πίστιν ἡμῶν, ἀπειροπλασίως ἀπολαμβάνομεν· δι' αὐτὴν λοιπὸν τὴν αἰτίαν, ἐδιωρίσθησαν παρὰ τῶν θείων ἡμῶν Πατέρων ῥηταὶ ἡμέραι, εἰς τὰς ὁποίας σχολάζοντες ἀπὸ τὰ ἔργα μας, καὶ συνερχόμενοι εἰς τὰς Ἱερὰς Ἐκκλησίας, ὁμοθυμαδὸν δοξολογοῦμεν τὸν Θεὸν μὲ δοξολογίας καὶ προσευχάς. Καὶ τοιαῦται εἶναι αἱ Κυριακαί, εἰς τὰς ὁποίας δοξολογοῦμεν τὴν ἐκ νεκρῶν τοῦ Σωτῆρος ἡμῶν Ἀνάστασιν· αἱ ἑορταὶ αἱ Δεσποτικαὶ λεγόμεναι, καθ' ἃς ἑορτάζομεν τὴν ἐνανθρώπισίν του, δοξάζοντες αὐτόν, ὅτι κατεδέχθη διὰ τὴν σωτηρίαν μας νὰ γίνῃ παθητὸς ἄνθρωπος, Θεὸς ὢν ἀπαθής, διὰ νὰ μᾶς ἐλευθερώσῃ ἀπὸ τὸν θάνατον, καὶ νὰ μᾶς ἀποκαταστήσῃ ἀθανάτους, καὶ κληρονόμους τῆς αἰωνίου ζωῆς τοῦ Παραδείσου! αἱ θεομητορικαὶ ἑορταί, εἰς τὰς ὁποίας μακαρίζομεν τὴν ἀειμακάριστον Μητέρα τοῦ Θεοῦ ἡμῶν, καὶ Κυρίου τοῦ παντός, τὴν ὁποίαν προβάλλομεν μεσίτριαν πρὸς τὸν υἱόν της, καὶ Θεὸν ἡμῶν, διὰ τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν, καὶ αἱ λοιπαὶ τῶν Ἁγίων ἑορταί, εἰς τὰς ὁποίας δοξολογεῖται αὐτὸς ὁ Θεός, ὁ διὰ τῶν ἁγίων του ἐπὶ τῆς γῆς δοξαζόμενος, καὶ δεχόμενος ὡς εὔσπλαγχνος τὰς δεήσεις ἡμῶν καὶ ἱκεσίας, τὰς ὁποίας προσφέρομεν ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Αὐτὰς δὲ ταύτας τὰς ἑορτάς, ἔχοντες ὑπόθεσιν κατάλληλον εἰς δοξολογίας ἐκτενεστέρας πρὸς τὸν Θεόν, κατὰ τὸν Κύρου Θεοδώρητον, ὅστις λέγει. «Φροντίσιν ἡμᾶς καὶ λύ»παις μετὰ τὴν ἁμαρτίαν συζεύξας ὁ δημιουργήσας Θεός, παρ»έσχεν ἡμῖν παραμυθίας ψυχῆς ἀφορμὰς τὰς θείας ἐν τῷ μέσῳ »τεθεικὼς ἑορτάς· αἱ γὰρ τούτων ὑποθέσεις, καὶ τῶν θεοσδότων

»ἡμᾶς ἀναμιμνήσκουσι δωρεῶν, καὶ τὴν παντελῆ τῶν ἀνιαρῶν »προμηνύουσι λύσιν.» [Ἐπιστολ. ἑορταστικ. ε'.] σχολάζομεν μὲ ἀργίαν τῶν ἔργων μας, διὰ νὰ ἔχωμεν καιρὸν προσευχῆς ἀφρόντιστον, ἐλευθερωμένοι τῶν βιωτικῶν φροντίδων, καὶ προσηλωμένοι μὲ νοῦν καθαρὸν εἰς τὰ παρὰ τοῦ Θεοῦ ζητούμενα παρ' ἡμῶν, καὶ ὅλως διόλου ἀφιερωμένοι πρὸς τὸν Θεόν, διὰ νὰ ἀπολαμβάνωμεν, ὅσα ζητοῦμεν πλουσίως, μένοντες διαπαντὸς ἀκαταίσχυντοι εἰς τὰς δεήσεις μας μὲ τὴν ἐπιτυχίαν τῶν ζητουμένων.

Ὅταν παρὰ τῶν θείων Πατέρων τῆς Ἐκκλησίας μας διετάχθησαν αἱ Δεσποτικαὶ ἑορταί, τότε πολλοὶ Πατέρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας, προσέφεραν εἰς τὸν ἐνανθρωπίσαντα δι' ἡμᾶς Θεάνθρωπον Ἰησοῦν Χριστόν, ὄχι μόνον λόγους πανηγυρικοὺς καὶ ἐγκώμια, πρὸς δόξαν αὐτοῦ, διηγούμενοι τὰς ὑποθέσεις τῶν ἑορτῶν, ἀλλὰ καὶ ἔμμετρα ποιήματα καὶ ᾄσματα ἐναρμόνια συνέθεσαν, ἐμπεριέχοντα καὶ αὐτὰ παρομοίως, ὅσα καὶ τὰ ἐγκώμια, εὐφραίνοντα τοὺς προσευχομένους μὲ τὴν γλυκύτητα τοῦ μέλους των· ψαλλόμενα γὰρ ἐντέχνως τὰ ποιήματα ταῦτα, προξενοῦσι μεγάλην κατάνυξιν εἰς τοὺς προσευχομένους, καὶ τοὺς κάμνουσι προσεκτικοὺς εἰς τὰς προσευχάς των, καὶ πλέον εὐλαβεστέρους· ὅθεν συνέθεσαν ὅλα ταῦτα κατὰ μίμησιν τῶν παλαιῶν ἐκείνων ᾠδῶν, καὶ ψαλμῶν τοῦ Δαβίδ, μὲ τὸν αὐτὸν ἔνθερμον ζῆλον ἐντέχνως καὶ μετὰ μέλους, ἵνα, κατὰ τὸν μέγαν Βασίλειον, «τῷ προσινεῖ καὶ λείῳ τῆς ἀκοῆς τὸ »ἐκ τῶν λόγων ὠφέλιμον λανθανόντως ὑποδεξόμεθα, κατὰ τοὺς »σοφοὺς τῶν Ἰατρῶν, οἵ τῶν φαρμάκων τὰ αὐστηρότερα πίνειν »διδόντες τοῖς κακοσίτοις, μέλιτι πολλάκις τὴν κύλικα περι»χρίουσι, διὰ τοῦτο τὰ ἐναρμόνια ταῦτα μέλη ἐπινενόηται, ἵνα »οἱ νεκροὶ τὸ ἦθος τῷ μὲν δοκεῖν μελῳδῶσι, τῇ δὲ ἀληθείᾳ τὰς »ψυχὰς ἐκπαιδεύωνται» ἑρμην. εἰς τὸν α'. ψαλμόν.

Τὸν αὐτὸν τρόπον ὁ κατὰ τὸν δεύτερον αἰῶνα ἀκμάσας Ἱερὸς πατὴρ ἡμῶν Κλήμης, συνέθεσε μερικὰ ἔμμετρα ποιήματα εἰς δόξαν καὶ εὐχαριστίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

οὕτως ὁ μάρτυς Ἀθηνογένης τὸ «φῶς ἱλαρὸν» κατὰ τὴν μαρτυρίαν τοῦ θείου Βασιλείου· ὁμοίως καὶ ὁ τῆς Αἰγύπτου ἐπίσκοπος Νέπως Οὐϊκτωρῖνος, καὶ Λακτάντιος, καὶ ὁ Θεολόγος Γρηγόριος· (1) Ἀνδρέας ὁ Κρήτης, Ἰωσὴφ ὁ ὑμνογράφος, Ἀνατόλιος καὶ ἄλλοι πολλοὶ πατέρες κατ' ἐξοχὴν δὲ ὁ Ἱερὸς Κοσμᾶς ὁ Ἱεροσολυμίτης, καὶ ὁ ἐκ Δαμασκοῦ Ἰωάννης, οἵτινες ἐκόσμησαν οὐ μόνον τὰς Δεσποτικὰς καὶ Θεομητορικὰς ἑορτὰς μὲ τὰ μέλη τῶν ποιημάτων των, ἀλλὰ καὶ τὰς ἑορτάς, καὶ πανηγύρεις τῶν Ἁγίων, καθὼς ἰδίοις ὀφθαλμοῖς ἀναγινώσκομεν, καὶ βλέπομεν μέσα εἰς τὰ μηναῖα τῆς Ἐκκλησίας.

Κατὰ μίμησιν λοιπὸν τοῦ ζήλου καὶ τῆς εὐλαβείας τῶν θείων τούτων Πατέρων, πολλοὶ ἐκ τῶν μεταγενεστέρων διδασκάλων ἀνεπλήρωσαν πολλὰς ἀκολουθίας παλαιῶν Ἁγίων ἐλλειπεῖς, καὶ συνέταξαν καὶ νεωτέρας εἰς τιμὴν νεωτέρων Ἁγίων, εἰς δόξαν καὶ εὐχαριστίαν αὐτοῦ τοῦ Θεοῦ, τοῦ δοξάζοντος τοὺς Ἁγίους του· ἐξ αὐτῶν, τῶν ὁποίων γνωρίζομεν ὑπῆρξεν ὁ σοφὸς Γεώργιος Κορέσιος· ὁ ἀείμνηστος Νικόδημος Νικηφόρος, ὁ συντάκτης τῶν ἐν τῷ νέῳ Λειμωναρίῳ Ἀκολουθιῶν, καὶ ἄλλοι τοιοῦτοι ζηλωταὶ τῆς εὐσεβείας, καὶ τῆς ἀρετῆς τῶν Ἁγίων.

Τῶν τοιούτων τὰ ἴχνη βαδίσας ὁ ταπεινός, ἀπετόλμησα νὰ ἀναπληρώσω τὴν Ἁσματικὴν Ἀκολουθίαν, τοῦ ἐν Ἁγίοις Θαυματουργοῦ καὶ Ἱερομάρτυρος Ἀνθίμου Ἐπισκόπου Νικομηδείας, καὶ τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Γαβρᾶ, οὗτινος πρὸ ἡμῶν οἰκονόμος τις Ἰωάννης Τραπεζούντιος συνέταξεν ἄλλην τινὰ εἰς αὐτὸν ἀκολουθίαν, εἰς τὴν ὁποίαν καὶ ἐγὼ στηριζόμενος ἔλαβον τὰ κυριώτερα ἱστορικὰ μέρη· πρὸς δὲ καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰουβελανίου Πατριάρχου Ἱεροσολύμων. Εἷς τινας δὲ ἁγίους ὡς καὶ εἰς τοὺς Εὐαγγελιστὰς καὶ Ἀποστόλους [ἐκ τῶν 12] εἰς τοὺς ὁποίους τὰ μηναῖα ἐπειδὴ δὲν ἔχουσι τακτικὴν ἑορτήν, διὰ τοῦτο ἐρανίσθην ἐκ τοῦ χειρογράφου τοῦ ἀοιδίμου Νεκταρίου, Πατριάρχου Ἱεροσολύμων με-

(1) Ὅρα σελ. 40 τῆς ἱερᾶς τελετουργίας.

ρικὰ δὲ ἡ ἐμὴ ἀδυναμία συνέταξεν· ἤτοι ἀπόστιχα, ἰδιόμελα λιτάς, καθίσματα, καὶ αἴνους· πρὸς τοῖς ἄνω δὲ καὶ μικράν τινα τελετὴν εἰς τὴν παγκοσμοσωτήριον καὶ χαρμόσυνον ἑορτὴν τῶν Γενεθλίων τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ἵνα μὲ ὅλα τὰ ἀναγκαῖα μέσα καὶ μέλη, πανηγυρίζωνται αἱ ἑορταὶ τῶν ἁγίων, τῶν Ἀποστόλων καὶ Εὐαγγελιστῶν, ἀπὸ τοὺς ἔχοντας εὐλάβειαν πρὸς αὐτούς, πρὸς ἁγιασμὸν καὶ βοήθειαν τῶν ψυχῶν ἐκείνων, καὶ σωτηρίαν τῆς ψυχῆς κἀμοῦ τοῦ ἁμαρτωλοῦ, διὰ τῶν εὐπροσδέκτων δεήσεων αὐτῶν πρὸς τὸν Θεόν.

Δέχθητε λοιπὸν εὐμενῶς, φιλόχριστοι καὶ φιλομάρτυρες Πατέρες Σεβάσμιοι, καὶ ἀδελφοί μου ἐν Χριστῷ περιπόθητοι, τὸ παρὸν ἁσματικόν μου πόνημα, τὸ ὁποῖον ἀναγινώσκοντες καὶ ψάλλοντες, ὅσοι ἐξ ὑμῶν θέλετε ἑορτάζειν ἐξ οἰκείας εὐλαβείας τὰς ἑορτὰς τῶν Ἁγίων, νὰ ἐνθυμῆσθε τοῦ ταπεινοῦ εἰς τὰς προσευχάς σας, δεόμενοι τοῦ Θεοῦ, ὅπως διὰ τῶν εὐπροσδέκτων τῶν ἁγίων Εὐαγγελιστῶν, καὶ Ἀποστόλων δεήσεων, ἀξιωθῶ τοῦ ἀπείρου ἐλέους καὶ τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ, τῆς ὁποίας, εἴθε, ἅπαντες νὰ ἀξιωθῶμεν εὐμενῶς διὰ τῶν εὐπροσδέκτων δεήσεων τῶν ἁγίων, μετὰ τὴν τοῦ βίου τούτου ἀπαλλαγήν, ζήσαντες εὐσεβῶς καὶ ἐναρέτως, διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ, τοῦ ὁποίου τὸ ὄνομα εἴη εὐλογημένον εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐρρῶσθε ἐν Κυρίῳ.

Ὁ ἐλάχιστος δοῦλος τοῦ Θεοῦ καὶ ἐν Χριστῷ ἀδελφὸς

ΑΝΘΙΜΟΣ ΠΡΩΤΟΣΥΓΚΕΛΟΣ ΓΑΒΡΑΣ.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ

ΤΗ῾ 3Η ΣΕΠΤΕΜΒΡΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΑΝΘΙΜΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΝΙΚΟΜΗΔΕΙΑΣ

Εἰς τὸν μικρὸν Ἑσπερινόν.

Ἦχος α΄.

Ὦ τοῦ παραδόξου Θαύματος, ὁ φωστὴρ ὁ λαμπρός, Ἄνθιμος ὁ πάνσοφος, καθῆλε νεανικῶς ὄφιν τὸν δόλιον, ἐν σταδίῳ λαμπρῶς, Χριστὸν κηρύξας Θεὸν ὑπερτέλειον, παντοίας ὑπὲρ αὐτοῦ, ὑπενεγκὼν κακουχίας καὶ μάστιγας, καὶ τελειωθεὶς ἐνθέως, δόξης κατηξίωται, τῆς ἀῤῥήτου καὶ θείας Ἱεραρχίας ὡς θεόληπτος.

Δές.

Ὦ τοῦ παραδόξου θαύματος, ὁ στερρὸς ἀθλητής, Ἄνθιμος ὁ ἔνδοξος, τυράννων καὶ ἀπειλάς, καὶ πᾶσαν μάστιγα, ἡγήσατο, ὡς οὐδέν, ὑπὲρ ἀγάπης Χριστοῦ ὁ πανένδοξος, ἀθλήσας καρτερικῶς, τοὺς δυσμενεῖς ἀνδρικῶς κατεπάλαισε, καὶ εἰς οὐρανοὺς ἐν δόξῃ μαρτυρίου πτέρυξιν, ἀναπτὰς ὑπὲρ πάντων, ἱκετεύει τὸν φιλάνθρωπον.

Τὴν σὴν πανένδοξον ἄθλησιν, γηγενῶν τὰ στίφη, σεπτῶς μακαρίζουσιν, ὑμνοῦντες πανευσεβῶς, Χριστὸν τὸν Κύριον, τὸν κόσμῳ σὲ θαυμαστόν, καὶ θεηγόρον λαμπρὸν ἀναδείξαντα, λαμπτῆρα φωταγωγόν, Ἱερομάρτυς Πανεύφημε Ἄνθιμε, διὸ πόθῳ σου τελοῦντας, τὴν ἁγίαν κοίμησιν, ἀπημάντους συντήρει, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Δόξα ἦχος α΄.

Πανσεβάσμιε πάτερ, Ἱερομάρτυς πανένδοξε, Νικομηδέων τὸ ἐγκαλλώπισμα, καὶ τοῦ κόσμου προστάτα θερμότατε, ἐν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΓΡΗΓΟΡΙΟΥ

μέσῳ βασιλέων καὶ τυράννων παναοίδιμε, παῤῥησίᾳ ἑστὼς ἐκήρυξας τὸν Χριστὸν Θεὸν ὑπερούσιον, σάρκα δι' ἡμᾶς εἰληφότα, σταύρωσιν καὶ ταφὴν ἑκουσίως καταδεξάμενον, καὶ ἀναστάντα ἐν δόξῃ ὡς Θεὸν παντοδύναμον, ὃν ἱκέτευε Ἄνθιμε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

Τὰ ἀπόστιχα ζήτει εἰς τὴν ἑορτήν.

Δόξα ἦχος πλαγ. δ΄.

Σήμερον ἐξέλαμψε, πιστοί, ἡ φωτοειδὴς μνήμη τοῦ Ἱερομάρτυρος Ἀνθίμου, συγκαλοῦσα ἡμᾶς πρὸς εὐωχίαν μυστικήν, δεῦτε οὖν ἐγκωμίοις καὶ ἄνθεσι καταστέψωμεν αὐτὸν λέγοντες· χαίροις ὁ τῶν Νικομηδέων φωστήρ, Μάρτυς καὶ ποιμήν, χαίροις ὁ τὸ ὅπλον τοῦ Σταυροῦ ἀνδρείως ἀναλαβών, καὶ τὸν νοητὸν Γολιάθ, Δαβιτικῶς καταγωνισάμενος, καὶ ἀριστεύσας γενναίως καὶ τὸν τῆς νίκης στέφανον παρὰ τοῦ ἀγωνοθέτου κομισάμενος Χριστοῦ, ὃν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

Τρισάγιον καὶ ἀπόλυσις.

ΣΗΜΕΙΩΣΙΣ. — Τὰ μὲν Στιχηρὰ τοῦ Ἑσπερινοῦ, ἡ Λιτὴ καὶ τὰ ἀπόστιχα μετὰ τῶν δοξαστικῶν, φέρουσιν Ἀκροστιχίδα, Ἄνθιμος, Ἀργυροπολίτης Γαβρᾶς. Ὁ δὲ κανὼν ἔχει· «Τὸν Ἱεράρχην ἅμα μάρτυρα Θεῖον εὐφημῶ.»

Τῇ 3ῃ Σεπτεμβρίου τοῦ Ἁγίου ἐνδόξου Ἱερομάρτυρος Ἀνθίμου ἐπισκόπου Νικομηδείας.

Ἐν τῷ Μεγ. Ἑσπερινῷ μετὰ τὸν προοιμιακὸν τό: Μακάριος ἀνήρ.—εἰς τὸ κύριε ἐκέκραξα τὰ προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἄνθη πολύτιμα ὄντως αἱ ἀρεταί σου σοφέ, καὶ δι' αὐτῶν, δοξάσας ἐπὶ γῆς διὰ βίου, τὸν Κύριον τῆς δόξης κηρύξας τρανῶς, κατ' ἀξίαν ἐδόξασας, καὶ ἰαμάτων ἐδείχθης θεία πηγή, Ἄνθιμε πανόλβιε.

Νικομηδέων ἡ πόλις ἡ πάλαι εὔφημος, χαῖρε εὐφαίνου, σὺ γάρ, δισμυρίων μαρτύρων, αἷμα συνεφοινίχθης, ἀλλὰ καὶ νῦν τὸν ἐκείνων διδάσκαλον, καὶ Ἱεράρχην καὶ θεῖον ὑφηγητήν, ἐκληρώθης σοφὸν Ἄνθιμον.

Θεοῦ τὸν ἄναρχον λόγον καὶ προαιώνιον, τὸν πάντα συντηροῦντα, θεϊκῇ ἐξουσίᾳ, σὺ ἔσχηκας τῷ ὄντι μυσταγωγόν, ἁπλανῆ παναοίδιμε, διὸ μνημόνευε Ἄνθιμε καὶ ἡμῶν, τῶν πιστῶς ἑορταζόντων σε.

Ἱερωτάτῃ χορείᾳ τῶν Ἱεραρχῶν τοῦ Χριστοῦ, Ἄνθιμε τρισμάκαρ συνετάγης, ἐν ταύτῃ, ὡς θειότατον φῶς ἐκ θεοῦ ἐκλεχθείς, ἱεράρχα τρισόλβιε, μεθ' ἧς δυσώπει ἀπαύστως τὸν λυτρωτήν, ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε.

Μαρτυρικὴ πανδαισία πρόκειται σήμερον, δεῦτε οὖν δι' ᾀσμάτων, εὐφρανθῶμεν ἐνθέως, τερπνότητι ὑμνοῦντες τὸν ἀθλητήν, καὶ ἀήττητον Ἄνθιμον, καὶ ἀριστέα λαμπρότατον τοῦ Χριστοῦ, φιλεόρτων τὰ συστήματα.

Ὁ ἀνθώνυμος μάρτυς καὶ θεῖος Ἄνθιμος, ὡς ἀπολαύσων ῥόδων, δόξης ἐπουρανίου, ἀνέτλη τὰς ἀκάνθας διὰ πυρὸς καὶ βασάνων δριμύτητος, καὶ εὐωδίας πληροῦται τῆς μυστικῆς, θεῷ νῦν παριστάμενος.

Δόξα. Ἦχος πλαγ. δ΄.

Σήμερον πνευματικὴν χορείαν συγκροτοῦντες, πνευματικῶς πανηγυρήσωμεν, καὶ ᾀσματικῶς ἑορτάσωμεν. Σήμερον πρόκειται ἡμῖν πανδαισία οὐράνιος, πλήρης δόξης καὶ εὐφροσύνης, εὐφραίνουσα τὰς καρδίας τῶν ἐκ πόθου προσερχομένων αὐτῇ· τράπεζα θεία ὄντως, ἐν ἄνθεσιν ὡραϊζομένη, καὶ κρίνα εὔοσμα, ἀρετῶν ἐνθέων βρίθουσα Ἀνθίμου τοῦ τρισμάκαρος. Εὐωχηθῶμεν τοίνυν φιλέορτοι, καὶ τῷ συγκαλέσαντι ἡμᾶς βοήσωμεν. Πάρεσο ἐν μέσῳ ἡμῶν ἅγιε, καὶ δεῦρο στῆθι μεθ' ἡμῶν, ἁγιάζων τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. *Τίς μὴ μακαρίσει σε.*

Εἴσοδος· τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ ΚΑΙ ΠΛΗΡΟΦΟΡΗΣΗΣ

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς ; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν ; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα, καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγὼ εἰμί, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό ; Οὕτω λέγει· Κύριος ὁ Θεός, ὁ Λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ, ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας, προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας· καὶ τὸ διάδημα τοῦ κάλλους, ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον,

ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν.

Οὗ ἡ ἀκροστιχίς, Ἀργυροπολίτης.

Ἦχος α'.

Ἀγάλλου ἐν Κυρίῳ πόλις Νικομηδείας, ἀπόδυσε τὸν πενθήρη σάκκον, καὶ χιτῶνα εὐφροσύνης περίζωσε· σήμερον ὡς ἔαρ νοητόν, τὸν πολιοῦχον πλουτεῖς θαυμαστὸν Ἄνθιμον, τὸν λαμπρὸν Ἱεράρχην καὶ μάρτυρα· ἀντίπαλον τῆς ἀσεβείας, καὶ τῆς εὐσεβείας ὑπέρμαχον. Ἰατρὸν ἀδάπανον, τὸν τὰ δυσώδη πάθη ἀποδιώκοντα ψυχῶν τε καὶ σωμάτων· ὄντως ὡς ῥόδον εὐῶδες μυστικῶς ἐξήνθησεν, ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἡμῶν. Ὅθεν ἡμᾶς εὐωδιάζει, Κυρίου εὐωδία ἐγένετο· καὶ πρεσβεύει αὐτῷ, ἐλεηθῆναι τὰς ψυχὰς τῶν ἐν πίστει τελούντων αὐτοῦ τὴν πανήγυριν.

Ἦχος β'.

Ῥητορεύεις εὐγλώττως τοῦ Κυρίου τὴν σάρκωσιν, παρανόμων τυράννων ἐνώπιον· τὰς ἀπειλὰς τῶν τυράννων, καὶ βασάνους ὡς σκύβαλα ὑπὸ τοὺς πόδας σου κατεπάτησας· οὗτοι γὰρ οἱ δόλιοι τὴν γενναίαν σου καρτερίαν ἰδόντες κατῃσχύνθησαν· ὄντως ἀδαμάντινος καὶ στερρὸς ἐδείχθης, στερρὸς μὲν διὰ τῆς ἀθλήσεως, λαμπρὸς δὲ διὰ τῆς χάριτος, ἣν ἔσχες ὡς θεῖος Ἱεράρχης θεομακάριστε Ἄνθιμε, ὥσπερ κρῖνον εὐῶδες ἐβλάστησας, διὰ τοῦ μαρτυρίου· ὡς ἄνθος εὔοσμον ἐξήνθησας, ὡς Ἱερὸς λαοῦ

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΕΠΙΚΟΙΝΩΝΙΑ ΜΕ ΤΟΥΣ ΧΡΗΣΤΕΣ

προϊστάμενος, ὡς τοῦ Κυρίου θεράπων γενόμενος, καὶ τῶν παθῶν τοῦ χριστοῦ μιμούμενος, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Γέγονας κατοικητήριον τοῦ Ἁγίου Πνεύματος, Ἱεράρχα Χριστοῦ, καὶ ἡ παντοδύναμος χάρις εὑροῦσα τὴν Ἱεράν σου ψυχήν, θεοχαρίτωτε Ἄνθιμε, τὰς βασάνους ὑποστάς, ἀρρήτους ὀδύνας διέμεινας στερρός, ὥσπερ πάσχοντος ἄλλου· τὰ τραύματα ὡς ῥόδα παρέβλεψας· τὰ ἕλκη ὡς ἄνθη παραδείσου εὐωδιάζοντα ἐκ τοῦ σώματός σου ἐξήνθησαν· τὸ αἷμα ὡς μῦρον ἐξέχεας, τὸ εὐωδιάζον πᾶσαν τὴν ὑφήλιον, ἀφορῶν πρὸς τὰ μέλλοντα, πρὸς ἔλεον τῶν ἀδελφῶν, καὶ συμπάθειαν ῥέπουσαν, τὴν χάριν τῶν ἰαμάτων δαψιλῶς σοὶ ἐχαρίσατο· ἵνα καὶ τὸ ἔλεον τοῖς δεομένοις ἀφθονώτερον ἐπέδωκας, τοῖς πάσχουσι πάθη ποικίλα θεραπεύεις ἑκάστοτε, καὶ πρεσβεύεις τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Ὑψώθητι Νικομηδέων ἡ μεγαλούπολις, πᾶσα πόλις καὶ χώρα συνεορτάζει σήμερον, ἐπὶ τῇ μνήμῃ τοῦ σεβασμίου αὐτῆς πολιούχου· καὶ γὰρ τὰ πέρατα τῆς γῆς κροτεῖ ἐπευφραινόμενα, τῇ νῦν πανηγύρει τοῦ Ἱερομάρτυρος. Οὕτω καὶ ἡμεῖς τοῖς ᾄσμασιν, ὡς ἄνθεσι στεφάνους πλέξαντες ἐκβοήσωμεν. Χαίροις ὁ ποιμὴν ὁ καλός, ὁ τὴν ψυχὴν θεὶς ὑπὲρ τῶν προβάτων· ἡ θυσία καὶ θύτης, ὁ Ἱερεὺς καὶ Ἱερεῖον. Σοῦ δεόμεθα σὺν τοῖς συνάθλοις σου, Χριστὸν τὸν Θεόν, Ἄνθιμε ἱκέτευε· τὴν ποίμνην σου ταύτην ἐκ τῶν βαρβάρων λύκων λυτρωθῆναι, καὶ τῆς Οὐρανίου μάνδρας ἀξιωθῆναι.

Ἦχος πλάγ. α΄.

Ῥητορεύεις τὴν ἄναρχον γέννησιν, εἰς τὸ ποίμνιόν σου ἐν τῇ ἡμέρᾳ τῶν γενεθλίων Χριστοῦ, καὶ τὰς τῷ Θεῷ ἀναιμάκτους θυσίας, ὑπὲρ τοῦ Λαοῦ σου προσφέρων, καὶ Ἱερωσύνης στολισμῷ διαπρέπων· ὅθεν ἐν μέσῳ Ἐκκλησίας, σάλπιγξ μεγαλόφωνος, ἐδείχθης, ἐπιστηρίζων αὐτοὺς εἰς τὸ μαρτύριον. Θυσία ἑκουσίως προσηνέχθης, διὰ τῆς γενναίας σου ἀθλήσεως· ἄνθος νοητόν, καὶ κρῖνον Εὔοσμον, Ἱερομάρτυς Ἄνθιμε. Διὸ καὶ τοὺς στεφάνους ὡς ἄνθεσι διπλοῦς κομισάμενος, διπλῆν τὴν χάριν ἔσχες παρὰ τοῦ στεφοδότου Θεοῦ, ἁγιάζων τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλάγ. β΄.

Ὅλῳ τῷ φωτὶ τῆς Τριάδος, μετ' εὐφροσύνης προσχωρήσας, ὁ Θεὸς δὲ ζώσῃ φωνῇ ἐκάλεσε, θεοφόρε Ἄνθιμε. Ὅθεν πρὸς οὐρανὸν βαδίζεις καὶ εἰς τὸν ἄδυτον γνόφον τοῦ ἀφράστου φωτός, εἰσδύσας νοητῶς. Ὡς μάρτυς καὶ ποιμὴν ἐμυήθης, τὰ ἀπόρρητα τῶν μυστηρίων Θεοῦ. Ὡς μάρτυς μὲν φωτιζόμενος, ὡς ποιμὴν δὲ μυσταγωγούμενος· δι' ὃ καὶ ἐν λαμπηδόνι τοῦ παραδείσου οἰκεῖς, καὶ ταῖς χοροστασίαις τῶν Ἀγγέλων συναυλιζόμενος, ὄντως διπλοῦς καὶ τοὺς στεφάνους ὡς ἄνθη, ἐκ τῆς ἄνω δόξης ἐνεδύσω· πρεσβεύων πάντοτε Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος βαρύς.

Πόλις Νικομηδέων πᾶσα, σήμερον χαίρουσα, ἐνδόξως τὴν μνήμην ἐκτελοῦσα, τοῦ βλαστοῦ Ἀνθίμου ποιμένος σου, καὶ συγκαλοῦσα τὰ στίφη τῶν φιλεόρτων, μετὰ ᾀσμάτων φαιδρῶς ἀγαλλομένη, ὅτι τὸ αἷμα αὐτοῦ ἐκχυθὲν ἡ γῆ μὲν ἐδέξατο, τὸ δὲ πνεῦμα εἰς οὐρανοὺς ἀνεκομίσθη, τοῖς θείοις συναγάλλεσθαι πνεύμασιν. Ὅθεν εὐφραίνου καὶ σκίρτησον γηθοσύνως, τὸν πολιοῦχον ἔχουσα ἀθλητὴν τὸν γενναῖον, καὶ Ἀγγέλοις συνόμιλον, καὶ διατηροῦντά σε βλάβης τοῦ δυσμενοῦς ἀνωτέραν, καὶ νῦν ὑπὲρ ἡμῶν μνημονεύει, καὶ πρεσβεύει ἀεὶ τῷ Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλάγ. δ΄.

Ὅλως γλυκὺς ὑπάρχει τὸ ἦθος, τῇ προαιρέσει ἀγαθός, τοῦ τρόπου συμμέτοχος, τῶν Ἀποστόλων Χριστοῦ, τῇ πράξει συνέκδημος, συγκακουχῶν σὺν αὐτοῖς, ἀμαράντινε ἄνθος εὔοσμον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΣΤΡΑΤΟΣ

καὶ πολύαθλε Ἄνθιμε. Ἔλαμψας ἐν τῷ κόσμῳ ὡς ἀστὴρ ἐκ τῆς ἑῴας, τὸν λαὸν ἐφώτισας, καὶ τοῖς πιστοῖς ῥήμασιμελιρρύτοις στηρίζων, εὐωδιάσας πᾶσαν τὴν ἐκκλησίαν, φαίνων θαυμάτων σου, βολαῖς, τῶν λυπηρῶν ἐκλυτρούμενος, ὡς Σεπτὸς ἱεράρχης, ἤσχυνας ἐναθλήσας, τῶν εἰδώλων τὴν πλάνην, καὶ γὰρ ἐστέφθης οὐκ ἐκ λίθων τιμίων, ἀλλ' ἐξ οἰκείων αἱμάτων διηνθισμένος· διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, παθῶν ἡμᾶς ἐλευθέρωσον, ταῖς πρὸς θεὸν εὐπροσδέκτοις δεήσεσιν.

Ἦχος πλάγ. α'.

Λαμπρύνεται σήμερον, ὡς ἔαρ εὐφρόσυνον ἡ πάνσεπτός σου ἑορτή, ἐν μετοπώρῳ καρδίας ἐκτέρπουσα τῇ διηγήσει τῶν ἄθλων σου, Ἱερομάρτυς Ἄνθιμε. Ἱερέων χρῆσμα Ἅγιον κεχρισμένος, καὶ ὡς ἱερεὺς τοῦ Κυρίου, ἐνδυσάμενος δικαιοσύνην· καὶ κατηγλαϊσμένος τῷ σεπτῷ μαρτυρίῳ, χαίρων προσεχώρησας Ἁγίων εἰς Ἅγια. Ὅθεν δικαίως ἀγάλλεις, καὶ περιχαρῶς συλλειτουργεῖς τοῖς ἄνω λειτουργῶν. Εὐχὰς δὲ ἀναπέμπων πρὸς Κύριον, ὑπὲρ τῶν πίστει ἀνευφημούντων σε. Οὓς περίσωζε διὰ παντὸς ἀπημάντους, ἐκ τῶν δεινῶν προσβολῶν τοῦ ἐχθροῦ ῥυόμενος, κινδύνων καὶ περιστάσεων· οὐδέν σοι ἀδύνατον ὡς παῤῥησίαν ἔχων πρὸς Θεόν, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλάγ. β'.

Ἱερεὺς ἐννομώτατος, μέχρι τέλους σου ἐχρημάτησας, μακαριώτατε καὶ θεοπρόβλητε Ἄνθιμε. Ἱερουργῶν γὰρ τὰ θεῖα, καὶ ἄῤῥητα μυστήρια, τὸ αἷμα ὡς μῦρος εὐῶδες ἐξέχεας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ θῦμα εὐπρόσδεκτον αὐτῷ προσήγαγες, καὶ ὡς εὐσεβείας ἐραστὴς ἐναθλήσας ὑπὲρ τοῦ Κυρίου, καὶ ὡς καλλίνικος παρέστης τῇ Ἁγίας Τριάδος. Ὅθεν ἐξ ἀκηράτων ἀνθέων ἐστέφθης παρ' αὐτῆς, καὶ μετὰ Ἀγγέλων ἐν οὐρανοῖς συναγάλλει· ἀλλ' ὡς ἔχων παῤῥησίαν Ἅγιε, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν ἀειπάρθενον μνήμην σου.

Δόξα ἦχος βαρύς.

Τοὺς πόδας πυροῦσθαι δεινῶς ἀθλητά, συνθλᾶς τὴν κάραν ἀσάρκου δυσμενοῦς, τῇ θείᾳ χάριτι λύσας, πᾶσαν δαιμόνων ἀπάτην· σεαυτὸν γὰρ παρέδωκας, ὡς ὁ Χριστὸς τοῖς ζητοῦσι, καὶ πρὸς σφαγὴν ἠνέχθης ὥσπερ κριὸς ἐπίσημος, καθαγιάζων τῷ αἵματι πάντας τοὺς σὲ τιμῶντας. Δεῦτε οὖν φιλέορτοι, καὶ φιλόχριστοι, τὰ ἄνθη τῶν ἀρετῶν δρεψάμενοι, καθαροῖς συνειδόσι βοήσωμεν, ἐν ὕμνοις καὶ ᾠδαῖς μελῳδίαις, στεφάνους πλέξωμεν τοῦ Σεβασμίου Πατρός, ὄντως στεφηφορῶν ὑπέρτιμος, καὶ Ἱερεὺς ἐγκοσμούμενος, ὡς μάρτυς ἀήττητος, καὶ Ἱεράρχης πανσέβαστος, Ἄνθιμος ὁ ἔνδοξος, Νικομηδείας τὸ ἄνθος, καὶ ὀρθοδόξων ἡ δόξα, καὶ νῦν οἰκεῖ ἐν λαμπηδόνι τοῦ Παραδείσου καὶ πρεσβεύει ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν ἦχος πλάγ. δ'.

Ἡ σοφία τοῦ Θεοῦ, ὡς ἔμψυχον κιβωτὸν σὲ ἐξέλεξε, Θεοχαρίτωτε Δέσποινα· τὸ Πανάγιον Πνεῦμα, ἐν σοὶ κατεσκήνωσεν, ἀειπάρθενε Κόρη· ὁ συναΐδιος λόγος τοῦ Πατρός, ἐκ σοῦ ἀνεβλάστησε, Θεοτόκε Μαρία· ὁ πρὸ ἑωσφόρου ἐκ Πατρός, ἀμήτωρ γεννηθείς, ἐπὶ γῆς ἀπάτωρ ἐσαρκώθη ἐκ σοῦ, Πανάσπιλε ἀμόλυντε. Ὁ Ἄναρχος ὑπὸ σοῦ ἀρχὴν δέχεται, καὶ ἡ ἄῤῥατος φύσις ἐκ σοῦ συνάπτεται τοῖς βροτοῖς, Παντάνασσα Πανύμνητε, ὁ υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου γίνεται, καὶ ἡ ἄπειρος οὐσία ἐν Ἱερουσαλήμ, τὸ ἑκούσιον πάθος εἴληφεν, ἵνα ἡμᾶς ἀνάγῃ εἰς τὴν ἄνω Ἱερουσαλήμ. ἡ σωτηρία τοῦ κόσμου, ὑπὸ σοῦ ἀνέτειλεν ἡμῖν, χαῖρε νύμφη ἀνύμφευτε. Καὶ νῦν ἡμεῖς σὺν τοῦ πανολβίου Ἀνθίμου, ἀσυγκρίτως σὲ μακαρίζομεν, μεσίτευσον ὑπὲρ ἡμῶν πρὸς τὸν ἐκ σοῦ τεχθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Ἀπόστιχα. Οὗ ἡ ἀκροστοιχίς.

Γαβρᾶς.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Γεύσασθε φιλέορτοι πάντες, τὴν μακαρίαν τροφήν, ἐκ μυστι-

ΕΘΝΙΚΟΝ ΜΑΚΕΔΟΝΙΚΟΝ ΜΑΚΕΔΟΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓΙΟΥ ΠΑΠΑΣΤΑΥΡΟΥ

κῆς τραπέζης, εὐωδέστατον ἄρτον· Ἄνθιμος Ἱεράρχης ἀνθήσας παντί, τὸ τῆς πίστεως κήρυγμα, εὐωδιάζει γὰρ χάριτι τοῦ Χριστοῦ, οὗ καὶ τὸ πάθος ἐκοινώνησε.

ΣΤ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος.....

Ἀγαλλιᾶται ἡ κτίσις ἐπὶ τῇ μνήμῃ σου, ἐκ μυστικῆς λειβάδος εὐωδέστατον κρῖνον, Ἄνθιμε θεοφόρε, Νικομηδέων ποιμήν, τὸ τῆς πίστεως κήρυγμα, εὐωδιάζεις γὰρ χάριτι τοῦ Χριστοῦ, οὗ καὶ τὸ πάθος ἐκμιμούμενος.

ΣΤ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς.....

Βίον ὁσίων διῆλθες, Νικομηδέων ποιμήν, Ἄνθιμε, ὁ εὐφραίνων, μὲ ἀνθέων εὐώδη, καρδίας τεθλιμμένων εὐώδαις ὀσμαῖς, τῆς αὐτοῦ Ἱερότητος, καὶ τῶν ἀπείρων θαυμάτων σου δωρεῶν, ἀπολαύων τοὺς τιμῶντάς σε.

Δόξα ἦχος πλάγ. α΄.

Ῥητορεύεις τοῦ Κυρίου τὴν ἄφραστον γέννησιν, ἐνώπιον Βασιλέων καὶ τυράννων, καὶ τὴν ἔνσαρκον οἰκονομίαν τραγῳδῶν, ἐν τῷ σταδίῳ τοῦ μαρτυρίου ἑστὼς γενναίως ὑπὲρ τῆς εὐσεβείας, καλῶς ἀγωνισάμενος. Καὶ τροχῷ προσδεσμούμενος, θλιβερῶς, καὶ λαμπάσι πανταχόθεν ἐντόνως φλεγόμενος· αἴφνης ἔστη ὁ τιμωρῶν σε. Ἀλλ' ὑπὸ σοῦ δοξαζόμενος τρισήλιος Θεός, πέμπει τρεῖς λευκοφόρους ἀγγέλους, θεράπων Θεοῦ φαιδρῶς σε ἐκάλουν. Ὅθεν παραδόξως ἀκλινὴς ὡράθης, καὶ κυλίονται πρὸς πίστιν τῷ θαύματι, οἱ τῶν ἀπίστων δῆμοι· σὺ θερμοτέραν δὲ ἀνέπεμπες τῷ Θεῷ ὑμνῳδίαν, καὶ τὴν δρόσον ὡς οἱ παῖδες ἐξ ὕψους δεχόμενος, θεομακάριστε Ἄνθιμε· διὰ τοῦ μαρτυρίου, ἤνθησας, καὶ τὸ αἷμά σου ὡς μῦρον κενωθέν, εὐωδίασε πᾶσαν τὴν οἰκουμένην· καὶ νῦν ἐν οὐρανοῖς τῷ θρόνῳ παριστάμενος τῆς Ἁγίας Τριάδος, αἴτησαι πρεσβείαις σου, τοὺς ἐκ πόθῳ εὐφημοῦντας, τὴν πανσέβαστον μνήμην σου.

Καὶ νῦν, ὁ αὐτός.

Ἄσατε λαοί, τῇ μητρὶ τοῦ Θεοῦ ἡμῶν ἄσατε· σήμερον γὰρ συνεκάλεσεν ἡμᾶς ἡ ἁγία Θεοτόκος, ἐν τῇ ἐτησίῳ καὶ φαιδρᾷ πανηγύρει, τοῦ Πανολβίου καὶ Θεοφόρου Ἀνθίμου. Ὅθεν διὰ τοῦ ἐξ αὐτῆς τεχθέντος Χριστοῦ τοῦ Θεοῦ, ἐνεκρώθη ἑκουσίως, καὶ τὸ ζωηφόρον πάθος αὐτοῦ μιμούμενος· διὸ τὴν εἴσοδον τοῦ παραδείσου ἔτυχε, καὶ τὴν ἀγήρω ζωὴν ἀπέλαυεν, ἐν ᾗ χορεύων μετὰ Ἀγγέλων, καὶ ἀνθέων ἐστέφθη, εἰς τὰς θείας σκηνώσεις. Δεῦτε οὖν φιλέορτοι, τῇ Θεοτόκῳ βοήσωμεν· χαίροις ἡλιόμορφε ἡλίου ἄδυτον ὄχημα, τὸν ἀπερινόητον ἥλιον λάμψασα, χαίροις νοῦς ἀστράπτον θείαις φρικτωρείαις, ἡ λαμπηδὼν τῆς ἀστραπῆς, ἡ διαυγάζουσα τῆς οἰκουμένης τὰ πέρατα· ἡ ὄντως χρυσαυγίζουσα, ἡ πάγκαλος καὶ πανάμωμος· ἡ τὸ φῶς τὸ ἀνέσπερον τοῖς πιστοῖς ἐξαστράψασα· παντάνασσα Πανύμνητε Εὐλογημένη Θεοτόκε, μεσίτευσον ὑπὲρ ἡμῶν, πρὸς τὸν ἐκ σοῦ τεχθέντα ἀφράστως, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον, ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.

Τῆς ποίμνης σου θεόφρων στερρὸς προστάτης γενόμενος, ὑπὲρ αὐτῆς ἑτοίμως, τὸ σὸν αἷμα ἐξέχεας, μὴ πτοηθεὶς τὰς ἀπειλὰς τῶν δυσμενῶν, ἐν οὐρανοῖς νῦν ἀγάλλει, τῷ θρόνῳ τῆς τρισηλίου θεότητος παριστάμενος· δόξα τῷ σὲ ἰσχύσαντι Θεῷ, δόξα τῷ σὲ στεφανώσαντι Χριστῷ, δόξα τῷ σὲ δοξάσαντι θείῳ πνεύματι, Ἄνθιμε τρισόλβιε.

Δόξα καὶ νῦν.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυίδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί. Δόξα

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΒΟΗΘΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τῷ προελθόντι ἐκ σοῦ. Δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Εἰς τὸν ὄρθρον μετὰ τὴν πρώτην στιχολογίαν κάθισ. Ἦχος α΄.

Τὸν τάφον σου σωτήρ.

Τὸ αἷμά σου σοφέ, μυστικῶς ἀνεβόα, ἐκ γῆς πρὸς τὸν Θεόν, ὡς τοῦ Ἄβελ θεόφρων· σαφῶς γὰρ ἐκήρυξας, τὴν τριάδα τὴν ἄκτιστον· ὅθεν Ἄνθιμε, ποιμαντικῶς διαπρέψας, ἀπεδίωξας, τας τῶν αἱρέσεων θήρας, ὡς φύλαξ τῆς πίστεως.

Δόξα τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Μαρία, τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γαρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν δ΄. στιχολογ. κάθισ. Ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Ἐκ Θεοῦ προχειρισθείς, ποιμὴν προβάτων λογικῶν, ἦλθης ὡς πρόβατον Χριστοῦ, πρὸς τὴν σφαγὴν προσκαρτερῶν, τὴν τῶν φονευτῶν σου μανίαν φρικωδεστάτην· τυπτόμενος καὶ γαρ καὶ τιτρωσκομενος, σιδήροις καὶ τροχῷ κατακοπτόμενος, τὴν κεφαλὴν ἐτμήθης, χειρὶ δημίου. Διό σε ὄντως ὡς ἀριστέα, ὁ Χριστὸς ἐστεφάνωσε.

Δόξα τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Ὄντως ξένον τὸ ἐν σοί, καὶ ὑπὲρ φύσιν ἀληθῶς· ὅτι ἐν χρόνῳ τὸν Θεόν, σάρκα λαβόντα δι' ἡμᾶς, ἀνερμηνεύτως ἐκύησας, Θεοτόκε· καὶ γέγονας ἡμῖν τῆς σωτηρίας ἀρχή, ὁδεύειν εὐμαρῶς πρὸς τὰ οὐράνια· καὶ διὰ σοῦ οἰκήτορας, καὶ φίλους πάλιν γενέσθαι Θεοῦ, τῆς μακαρίας, καὶ αἰωνίου, Βασιλείας τῶν οὐρανῶν.

Μετὰ τὸν Πολυέλαιον. Κάθισ. Ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Ἀποστόλων ζηλώσας τρόπους σοφέ, ὡς διάδοχος θρόνων ἀναδειχθείς, τοῖς πᾶσιν ἐκήρυξας, τα σωτήρια δόγματα, καὶ μαρτύρων πλήθη, προσήξας ἀοίδιμε, τῷ Δεσπότῃ πάντων, ποιμὴν οἷα ἄριστος, ὅθεν καὶ τὴν κάραν, τὴν τιμίαν ἐτμήθης, καὶ χάριν ἀπείληφας, ἀπελαύνων νοσήματα, Ἱερώτατε Ἄνθιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Ὁ τῶν ὅλων δεσπότης καὶ ποιητής, ἐξ ἀχράντου σου μήτρας σάρκα λαβών, προστάτην σε ἔδειξε, τῶν ἀνθρώπων πανάμωμε, διὰ τοῦτο πάντες, πρὸς σὲ καταφεύγομεν, ἵλασμὸν πταισμάτων, αἰτούμενοι Δέσποινα, καὶ αἰωνιζούσης, λυτρωθῆναι βασάνου, καὶ πάσης κολάσεως, τῆς ἐκεῖσε δεόμεθα, ἵνα πίστει βοῶμέν σοι· πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ, τοῦ δοθῆναι πᾶσι κόρη ἄφεσιν, τοῖς πιστῶς προσιοῦσι τῇ σκέπῃ σου.

Οἱ ἀναβαθμοί.

Τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἦχου προκείμενον. Ἦχος δ΄.

Στ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.

Στ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Πᾶσα πνοή.

Τὸ Εὐαγγέλιον τοῦ ὄρθρου.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει. Ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπο-

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ
ΣΧΟΛΗ ΘΕΟΛΟΓΙΚΗ
ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΠΙΤΡΟΠΗ ΝΙΚΟΛΑΟΥ Γ. ΠΑΠΑΣΤΡΑΤΟΥ

λέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ, ἐν τῷ κόσμῳ τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ ἀκολουθήτω· καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ. Εἶπεν οὖν τοῖς ὄχλοις ὁ Ἰησοῦς. Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ εἶδε ποῦ ὑπάγει. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε.

Ὁ Ν'. δόξα ἦχος δ'.

Σήμερον σκιρτῶσιν οἱ δῆμοι τῶν Μαρτύρων, καὶ ἀγάλλονται Ἱεράρχαι, σὺν ἡμῖν γεραίροντες, τὴν μνήμην σου τρισμάκαρ, Ἄνθιμε πολύαθλε, Νικομηδέων κλέος.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός.

Τὸ ἰδιόμελον. Ἦχος πλ. δ'.

Κατεβλήθη τῇ γενναίᾳ σου ἐνστάσει, ὁ προστάτης τοῦ Ἅδου, καὶ θρηνῶν τὴν ἥτταν γοερῶς, τὰ σπλάγχνα τιτρώσκεται· οἴμοι· λέγων! ὅτι ὁ Υἱὸς τῆς Παρθένου, τῷ οἰκείῳ αὐτοῦ πάθει, πολὺ τὸ πάθος τῇ καρδίᾳ μου ἐνθείς, πολλοὺς ἔσχε τοῦ αὐτοῦ πάθους μιμητάς· μεθ' ὧν Ἱεράρχα, καὶ αὐτὸς μιμητὴς γενόμενος, τῷ οἰκείῳ σου πάθει, τὸ πάθος τοῦ ἐχθροῦ ὑπερηύξησας. Διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, παθῶν ἡμᾶς ἐλευθέρωσον ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις σου δεήσεσιν.

Ὁ κανὼν τῆς Θεοτόκου εἰς ς'. καὶ τοῦ ἁγίου, οὗ ἡ ἀκροστοιχίς.
Τὸν Ἱεράρχην ἅμα μάρτυρα θεῖον εὐφημῶ.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ταῖς φωταυγαῖς ἀστραπαῖς τοῦ Πνεύματος ὡς φωτιζόμενος, φωτιστικῇ λάμψει, τῆς ψυχῆς τὰ ὄμματα, φώτισον τὴν πώρωσιν, τῆς καρδίας μου παῦσον, ὅπως ἀξίως ὑμνήσω σου, μνήμην τὴν πανίερον, ἔνδοξε Ἄνθιμε.

Ὅλως γενναίως, ἀνδρικῷ φρονήματι, ἀντιτεττόμενος τῷ ματαίῳ καὶ τυράννῳ δράκοντι, τὰς βδελυρὰς καὶ θεοστυγεῖς, εἰδώλων θυσίας, τὰς τούτου ἐξεμυκτήρισας, καὶ Θεὸν τῶν ὅλων ἐδόξασας Ἄνθιμε.

Νικοποιῷ τῷ διὰ σοῦ τοὺς ἄφρονας, καταβάλλοντι λαμπρῶς, ἐν τῇ ἀθλήσει τῇ λαμπρᾷ σου, ἔνδοξε, τῷ ἀθανάτῳ παμβασιλεῖ, Χριστῷ Ἱεράρχα, εὐχαριστίαν προσφέρομεν, αἶνον ἐπινίκιον ᾄδοντες Ἄνθιμε.

Θεοτοκίον.

Ἱερωτέραν τῶν ἁγίων ἅπαντες, ἐνδοξοτέραν ὁμοῦ, τῶν ἀύλων ἀσωμάτων τάξεων, ἐν κατανύξει πανευλαβῶς, ψυχῆς σε τιμῶμεν, καὶ μετὰ πόθου δοξάζομεν, Χαῖρε Θεοτόκε πανύμνητε θέσποινα.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Εὐσεβοφρόνῳ λογισμῷ, καὶ σταθερᾷ διανοίᾳ, πρὸς βασάνων ἀπετόλμησας πεῖραν, αἰκιζόμενος σφοδρῶς, καὶ μαστιξι τυπτόμενος, καὶ ἀηττήτῳ γνώμῃ, ἀκλόνητος ἐμεινας Ἄνθιμε.

Ῥοαῖς αἱμάτων Ἱερῶν, Ἱερωτάτην πορφύραν, ἐπεχρύσωσας γενναῖε ὁπλῖτα, καλλυνόμενος λαμπρῶς, καὶ ὅλως διαπρέπων ἐν τῷ κόσμῳ ὤφθης, τρισμέγιστος ἔνδοξε Ἄνθιμε.

Ἀνηλεῶς παντοδαπαῖς ἐγκαρτερῶν ταῖς βασάνοις, καὶ τὸν τένοντα θλαττόμενος ὅλως, ὀβελίσκοις σιδηροῖς, κρηπῖσι πυρακτωθείσαις, τούτοις εὐτόλμως ἐχώρησας ἔνδοξε Ἄνθιμε.

Θεοτοκίον.

Ῥίζης φυεῖσα Ἰεσσαί, καὶ δειχθεῖσα ὡς δένδρον, καρπὸν ἅγιον ἐγέννησας ὄντως, τὸν Υἱὸν τὸν τοῦ Θεοῦ, δουλείας τοῦ ἀλάστορος, τοὺς πάντας λυτρωσαμένη, διό σε πάντες μεγαλύνομεν.

Κάθισμα. Ἦχος πλ. δ'. τὴν σοφίαν καὶ λόγον.

Τῶν ἡλίου ἀκτίνων μᾶλλον φανείς, ἀπαστράπτεις δὲ φέγγει μαρτυρικῷ, Ἄνθιμε μακάριε, Ἱερέων εὐπρέπεια, τῶν μαρτύρων

ΕΚΔΟΣΙΣ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΠΙΜΕΛΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

κλέος, πιστῶν ἀγαλλίαμα, δυσσεβῶν δὲ πάντων ἀντίπαλος μέγιστος, ὅθεν ἐπαξίως μακαρίζοντες πάντες, συμφώνως γεραίρομεν, καὶ τιμῶμέν σε ἔνδοξε, δυσωποῦντες βοῶμέν σοι, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Λογισμοῖς ὀλισθαίνων τοῖς πονηροῖς, εἰς βυθὸν κατηνέχθην ἁμαρτιῶν, καὶ στένων κραυγάζω σοι, ἐκ καρδίας πανάχραντε· ἐν ἐμοὶ θαυμάστωσον τὸ πλούσιον ἔλεος, καὶ τῆς σῆς εὐσπλαγχνίας τὸ ἄπειρον πέλαγος, καὶ τῶν οἰκτιρμῶν σου, τὸν ἀμέτρητον πλοῦτον· καὶ δός μοι μετάνοιαν, καὶ πταισμάτων συγχώρησιν, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλος σου.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Χριστὸν ἐν σοί, ἐνδυναμοῦντα μακάριε, ὅλως ἔχων, ἄτρωτος διέμεινας, εἰς καταισχύνην τῶν δυσσεβῶν, καύχημα καὶ κλέος, ὀρθοδοξίας, ἣν ἔδειξας, νικῶν ἐν πᾶσι τούτους, θείαν τε καὶ ἁγίαν, καὶ νικητὴν τοῦ πολεμήτορος.

Ἦχθης δεινῶς, πρὸς τὰς βασάνους τερπόμενος, ἐν σταδίῳ ἀφειδῶς τὸ σῶμά σου, τοῖς μιαιφόνοις παραδιδούς, Ἄνθιμε τρισμάκαρ, τῇ ἐκκοπῇ μελιζόμενον, τεμνόμενον ὡς δένδρον, ὑπ' αὐτῶν, ὅπως θαλῇ, τῇ φυτείᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Νεανικῶς ἐγκαρτερῶν ἀοίδιμε, ταῖς βασάνοις, χαίρων ἐναπέδωκας, τὴν παναγίαν καὶ ἱερὰν ψυχήν σου τὴν θείαν, Θεοῦ εἰς χεῖρας πολύαθλε· νικήσας τὸν βαλόντα, καὶ Θεοῦ ἀποστάντα, καὶ βραβεῖα τῆς νίκης δεξάμενος.

Θεοτοκίον.

Ἄχραντε σὺ τοῦ Βασιλέως Παλάτιον, Βασιλείας Οὐρανῶν ἀξίωσον, τοὺς εὐσεβῶς καὶ ὡς ἀληθῶς, ἐπικαλουμένους, τὴν

ἄμαχόν σου βοήθειαν, βοήθησον Παρθένε, καὶ ῥῦσαι πάσης βλάβης, ὅπως σὲ πάντες μακαρίζομεν.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Μακρυνθεὶς τῆς φιλίας, τοῦ γαιηροῦ σώματος, πλείστων διὰ πόνων, ᾠκειώθης Θεῷ πανοικτίρμονι, τῷ ἡμᾶς δι' οἶκτον, περιληκότι δὲ καὶ ἑκουσίως παθόντι, καὶ τοὺς πάντας παθῶν ἐκλυτρώσαντι.

Αἱ πορεῖαί σου μάκαρ, ὄντως εὐθυνόμεναι εἰς τρίβους ὤφθησαν, εἰς ὁδοὺς πανσόφως, μαρτυρίου δι' οὗ καλλυνόμενος, σιδηραῖς κρηπῖσι, καθηλωμένος τοῦ Βελίαρ, κεφαλὴν καὶ τὰ κέντρα συνέτριψας.

Ματαιόφρων ᾐσχύνθη, ἐκ τῶν θεοπνεύστων σου λόγων ἐνστάσεων, δι' ὧν ἐξηλέγχθη, ἡ δυσσέβεια τούτου καὶ ἄνοια, ἣν καὶ κατεστρέψω, σθένει παμμάκαρ καὶ δυνάμει, τοῦ τὴν φύσιν ἡμῶν καινουργήσαντος.

Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον, πάντες ἐπιγνόντες σε, ἄχραντε Δέσποινα, τὸν ἐκ σοῦ τεχθέντα, ἀπορρήτῳ βουλήματι τέτοκας· ὅθεν κατὰ χρέος, χρεωστικῶς σε ἀνυμνοῦμεν, ὡς Μητέρα Θεοῦ καὶ δοξάζομεν.

Ὠδὴ ς'. Πλάσθητί μοι σωτήρ.

Ῥημάτων σου τῶν σοφῶν, τὴν ἐκκλησίαν ἐπλήρωσας, ῥοαῖς τῶν σῶν Ἱερῶν, αἱμάτων ἡγίασας, Τρισόλβιε Ἄνθιμε, κλεινὸν αὐτῆς πέδον· ὅθεν πόθῳ γὰρ δοξάζει σε.

Τιμᾷ σου χρεωστικῶς, καὶ ἐτησίως τὴν μνήμην σου, γεραίρει δὲ τοὺς λαμπρούς, ἀγῶνάς σου Ἄνθιμε, ἐκκλησία ἅπασα, ἡ τῶν Ὀρθοδόξων, ἧς τὴν δόξαν ἐμεγάλυνας.

Ὕλης παθῶν ζοφερῶν, κεκαθαρμένην ἀνάδειξον, ψυχήν μου τὴν ταπεινήν, εὐχαῖς σου πρὸς Κύριον, Ἱεράρχα Ἄνθιμε· ἔχων παῤῥησίαν, ἀκαταίσχυντον, πολύαθλε.

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΥ ΕΛΛΗΝΙΚΟΥ ΚΟΙΝΟΒΙΟΥ
ΙΔΡΥΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θεοτοκίον.

Ῥημάτων τοῦ Γαβριήλ, ἐν τῇ γαστρί σου συνέλαβες, τὸν ἕνα ὄντως Θεόν, καὶ τοῦτον ἐγέννησας, ἐν χρόνῳ τὸν Ἄχρονον, Υἱὸν γεννηθέντα, ἐκ πατρός, τὸν Προαιώνιον.

Κοντάκιον Ἦχος δ'. Ὁ ὑψωθείς.

Ἐν ἱερεῦσιν εὐσεβῶς διαπρέψας, καὶ μαρτυρίου τὴν ὁδὸν διανύσας, τὰ τῶν εἰδώλων ἔσβεσας σεβάσματα, πρόμαχος γενόμενος, τῆς σῆς ποίμνης θεόφρων· διό σε καὶ γεραίρουσα, μυστικῶς ἐκβοᾷ σοι, ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ταῖς σαῖς πρεσβείαις, πατὴρ ἡμῶν Ἄνθιμε.

Ὁ οἶκος.

Ἐνθεὶς γνῶσιν θεϊκήν, τὸν ζόφον τῆς ἀγνοίας ἐκ τῆς ἐμῆς καρδίας, ἀπέλασον εὐχαῖς σου, ὅπως ὑμνήσω σου πιστῶς τὴν ἁγίαν μνήμην, ἐν ᾗ ἀγγέλων χοροί, μετὰ Μαρτύρων σήμερον εὐφραίνονται ἐνθέως, καὶ ἄνθρωποι, ὕμνοις ἐγκωμίων τὴν σὴν κάραν, ὥσπερ ἄνθη συμπλέξαντες, στέφουσιν ἀξίως, αἰτοῦντες παρὰ σοῦ λαβεῖν, τῶν πταισμάτων ἀποχήν, καὶ τῶν κακῶν τοῦ βίου λύσιν, καὶ ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων ῥυσθῆναι, ταῖς σαῖς πρεσβείαις, Πατὴρ ἡμῶν Ἄνθιμε.

Τῷ αὐτῷ μηνὶ Γ'. τοῦ ἁγίου Ἱερομάρτυρος Ἀνθίμου ἐπισκόπου Νικομηδείας.

Στιχ. Τιμηθεὶς κεφαλὴν μάρτυς Ἄνθιμε ξίφει,
Καὶ νεκρὸς ἀνθεῖς καὶ Θεῷ διαμένεις,
Ἄνθιμον ἐν τριτάτῃ ἀπέκτεινε ξίφος ὀξύ.

ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΑΝΘΙΜΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΝΙΚΟΜΗΔΕΙΑΣ

Εὐλόγησον πάτερ. (α)

Τίς οὐκ οἶδε τὴν πόλιν τῶν Νικομηδέων, ὅτι αὐτὴ μὲν διὰ τὴν θέσιν καὶ μεγαλωσύνην αὐτῆς, καὶ λαμπρότητα, καὶ τοῦ ἔτους τὸν κατὰ καιρὸν τὴν εὐκρασίαν ἔχει; Τίς οὐκ ὁμολογεῖ ὅτι αὐτή ἐστιν ὁ κεκλεισμένος μυστικὸς κῆπος τοῦ Σολομῶντος, ὁ ὁποῖος ἐβλάστησεν ὅλα τὰ εὔοσμα ἄνθη τοῦ παραδείσου, τὰ ὁποῖα εὐωδίασαν πᾶσαν τὴν οἰκουμένην; Τίς οὐ γινώσκει, ὅτι αὕτη ἡ πόλις ἐβλάστησε δισμυρίους καὶ ἑπτακισχιλίους μάρτυρας ὡς εὔοσμα ἄνθη τοῦ νοητοῦ παραδείσου; Τίς οὐ θαυμάζει, ὅτι αὐτὴ ἐστιν ἡ ἀκρόπολις ἁπασῶν τῶν πόλεων τῆς Βιθυνίας, καὶ ὅτι αὐτὴ ἐξήγαγε τοὺς πολυτίμους λίθους τοὺς μαργαρίτας τοῦ Χριστοῦ, οἱ ὁποῖοι προσεφέρθησαν θυσία εὐπρόσδεκτος, καὶ ὡς στέφανος ὑπέρλαμπρος τῷ Βασιλεῖ καὶ Θεῷ. Ἀλλ' οὕτως ἔχουσα, καὶ τοιούτους καρποὺς προάγουσα, καὶ εἰς ταύτην τὴν καλλονὴν προελθοῦσα, ἂν καὶ ἔφθασεν εἰς τόσην λαμπροτάτην φήμην, καὶ ἐπαινεῖται διὰ ὅλα αὐτά, πρὸ πάντων ὅμως περισσότερον θαυμάζεται καὶ σεμνύνεται διὰ τὸν οἰκεῖον αὐτῆς βλαστόν, παρὰ διὰ ὅλα ταῦτα. Διότι ἐκ ταύτης ἐγεννήθη ὁ ἀξιοθαύμαστος Ἄνθιμος, ἀπὸ εὐσεβεῖς καὶ εὐγενεῖς κλάδους ἀνεβλάστησεν, ἤνθησε καὶ καλοὺς προσήνεγκε τοὺς καρποὺς εὐωδιάζων πᾶσαν τὴν ἐκκλησίαν ὡς ἄνθος εὔοσμον. Καὶ μόλις μὲν τὴν ἡλικίαν τῶν νηπίων παρῆλθεν ἐπήνθουν εἰς αὐτὸν πᾶσα θεία χάρις καὶ ἤθη χρηστά. Ὅτε δὲ πλέον ἐγένετο μειράκιον, ἦτο διὰ πολλῆς τῆς συνέσεως κατηρτησμένος. Ὅτε δὲ καὶ μεταξὺ τῶν ἀνδρῶν συγκατηριθμεῖτο καὶ τὰ ἀνήκοντα εἰς τοὺς

(α) Ἀντεγράφη ἐκ τῆς Βιβλιοθήκης τῆς κατὰ τὸ Ἁγιώνυμον Ὄρος Ἱερᾶς μονῆς τῶν Ἰβήρων.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ
ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΑΝΑΠΑΡΑΣΤΑΣΗΣ ΚΑΙ ΠΛΗΡΟΦΟΡΗΣΗΣ
ΕΚΔΟΣΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ἄνδρας ἀγαθὰ ἐκαρποῦτο, καὶ γαστρὸς ἦρχε, καὶ θυμοῦ καὶ σαρκὸς ἐκράτει, καὶ τὴν κοσμικὴν φαντασίαν ἀπεστρέφετο, ἀλλὰ καὶ τὴν μητέρα τῶν ἀρετῶν τὴν ἀγάπην, φιλοπόνως ἤσκει, καὶ ἅπας ὁ καιρός του ἦτο προσευχῆς ἀσχολεία καὶ μελέτη τῶν θείων ἐντολῶν, ὥστε καθ' ὅλον τὸν βίον αὐτοῦ ἀπέχων ἀπὸ πᾶσαν ματαίαν διασκέδασιν ἐντελῶς εἰργάζετο τὴν ἀρετήν. Διὰ τοσαύτης δὲ ταπεινοφροσύνης ἦτο κεκοσμημένος, ὥστε ὅταν ἐθεωρεῖτο ὑπὸ φιλαρέτων ἀνδρῶν πολλαὶ ψυχαὶ ἐξ αὐτῶν κατενύγοντο, καὶ ἤρχοντο εἰς τὴν πρόοδον τῆς ἀρετῆς. Ἐπειδὴ λοιπὸν ἔζη οὕτως, καὶ εἶχε τὴν ἰδίαν αὐτοῦ ἀρετὴν πολυφωνότατον κήρυκα, οὐδὲ ἦτο δυνατὸν νὰ κρύπτηται, οὔτε νὰ λανθάνῃ τοὺς ὁρῶντας αὐτόν, διὰ τοῦτο ἐπὶ τὸν ὑψηλὸν βαθμὸν τῆς Ἱερωσύνης ἀνῆλθε καὶ αἰνεῖ ἐν πρεσβυτέρων καθέδρᾳ τὸν Κύριον καὶ εὐλογεῖ τὸν Θεόν· οὐκ ἦλθεν ὅμως ἀμέσως ἐνταῦθα, οὐδὲ ἀπ' ἀρχῆς τοῦ βίου αὐτοῦ ἐπρομελέτα τὴν Ἱερωσύνην, ἀλλ' ἀφ' οὗ πρότερον εἰς πολλοὺς καὶ ἄλλους ἐνδιέπρεψε βαθμούς, καὶ ἐτίμησεν αὐτοὺς ἀξίως μὲ πᾶσαν ἀρετήν, ὑπὸ πάντων τούτων ἐμαρτυρήθη, ὅτι ἐστὶ ἄξιος τοῦ βαθμοῦ τῆς Ἱερωσύνης, καὶ οὕτω τοῦ μεγάλου τῆς Ἱερωσύνης ἀξιώματος ἐπιβαίνει. Οὐκ ἐδίωξε τὴν τιμήν, οὐδὲ ἥρπασεν αὐτήν, ἀλλ' ὑπ' ἐκείνης μᾶλλον κατελήφθη, ἂν καὶ σφόδρα ἀπεμακρύνετο ἀπ αὐτῆς διὰ τὸ μέγεθος τῆς ταπεινώσεως. Ἐπειδὴ μετέστη ἐν Κυρίῳ ὁ τότε ἐπίσκοπος Νικομηδείας Κύριλλος, ἐχήρευε δὲ πομένος ἡ ἐκκλησία, καὶ τὴν ἐρημίαν της ἐλεεινῶς ἐπένθει, καὶ τὴν συμφορὰν αὐτῆς ἐπωδύρετο· τότε οἱ πρόκριτοι τῶν Νικομηδέων μετὰ τοῦ ἐκκλησιαστικοῦ κλήρου, τὸ στυγνὸν ἐκεῖνο καὶ πικρὸν τῆς ἐρημίας πάθος μὴ φέροντες, ψηφίζονται μεταξὺ αὐτῶν κοινῶς πάντες νὰ ἐγχειρίσωσι τὴν ἐπισκοπὴν τῷ Ἀνθίμῳ, καὶ εἰσελθόντες εἰς τὴν ἐκκλησίαν προσεκάλουν μάρτυρα τῆς ψήφου αὐτῶν καὶ τοῦ Θεοῦ ἐδέοντο θερμῶς, ἵνα ἀποκαλυφθῇ εἰς αὐτούς, ἐὰν εἰς τὸν Θεὸν τὰ τῆς αὐτῶν γνώμης, ἀποδεκτὰ θὰ εἶναι, καὶ ἐὰν τὴν ἄνωθεν ψῆφον θὰ ἔχωσιν ἐπιμαρτυροῦσαν καὶ σύμφωνον εἰς τὴν ἀπόφασιν αὐτῶν. Εὐθὺς δὲ μέγα καὶ θαυμαστὸν φῶς περιήστραψε, καὶ φωνή τις θεία προσμαρτυροῦσα περὶ τοῦ Ἀνθίμου, ἐπεκύρου τὴν ψῆφον καὶ προέτρεπεν αὐτούς, ἵνα φέρωσιν εἰς πέρας τὴν ἀπόφασιν ταύτην. Καὶ λοιπὸν ὁ μὲν ἐκ Θεοῦ ἐκλεχθεὶς Ἄνθιμος ἀνέλαβε τοὺς σίακας τῆς ἐκκλησίας, ὁ δὲ θρόνος ἀπολαμβάνει τὸν ἄξιον καὶ τὸν οἰκεῖον ἐνδύεται κόσμον, ἡ δὲ ἐκκλησία ἀποτίθεται τὴν κατήφειαν, στολίζεται τὴν εὐπρέπειαν καὶ λαμπρότητα· καὶ κατὰ τὸν Ἀπόστολον Παῦλον ἐπέτυχεν ἀνεπίληπτον καὶ οὕτω σοφὸν ἐπιστάτην. Ὁ δὲ Ἄνθιμος ὡς ἀγαθὸς κυβερνήτης,

ὅλην τὴν προσοχὴν αὐτοῦ ἐπέστησε πρὸς τοῦτον μόνον τὸν σκοπόν, ὅπως τὸν χαλεπὸν τῆς ἀσεβείας κλύδωνα καταπραΰνῃ, καὶ τὰς ψυχὰς τῶν συμπλεόντων εἰς τὸν λιμένα τοῦ Θεοῦ καθορμίσῃ. Ταῦτα δὲ ὁ Ἰνδὸς ἰδών, καὶ ἡ Δόμνα καὶ ἐκεῖνος ὁ Ἰνδὸς, ὅστις ἦτο θαυμαστὸς καὶ ἀξιέπαινος, διότι αὐτὸς μὲν τὸν βασιλέα καὶ τὰ περὶ βασιλέα πάντα κατέλιπε καὶ παρέλαβε τὴν εὐσέβειαν μετὰ τῆς Δόμνης, ἀμφότεροι τὸν κοινὸν βασιλέα ἐπλούτησαν· ἀλλ' οὐδὲ ὁ Γλυκέριος καὶ ὁ Θεόφιλος ἔμειναν ἄγευστοι τῆς εὐσεβείας ἕνεκα τῆς διδαχῆς τοῦ ἀνδρός, ἱκανὴ δὲ ἀπόδειξις ἐστί, ὅτι καὶ οὗτοι τὸν ὑπὲρ Χριστοῦ Θάνατον παρεδέχθησαν· καὶ πολλοὶ δὲ ἄλλοι δὲν ἔμειναν ἄγευστοι τῆς εὐσεβείας, ἕνεκα τῆς σπουδῆς τοῦ ἀνδρός, διότι καὶ οὗτοι ὑπὲρ Χριστοῦ διὰ πυρὸς ἐτελειώθησαν. Αἴφνης δὲ ἐγείρεται χειμών τις χαλεπώτατος, καὶ ἐπειδὴ ἡ καταιγὶς ἐνέπεσε σφοδροτέρα, πάντας τοὺς χριστιανοὺς κατέδυσεν. Ὅτε δὲ ὁ Μαξιμιανὸς ἐπέστρεψε νικητὴς ἀπὸ τὸν κατὰ τῶν Αἰθιόπων πόλεμον ἐν ἔτει 304 καὶ ἐκέλευσε κοινῶς πάντας νὰ συναχθῶσιν ἐν Νικομηδείᾳ, ἵνα θυσιάσωσιν εἰς τοὺς Θεούς των, τότε ἐκηρύχθη ἐκεῖνος ὁ βαρύτατος μέγας διωγμὸς τῶν χριστιανῶν, καὶ ὁσημέραι προϋχώρει καθ' ἅπασαν τὴν γῆν. Καὶ ἄλλοι μὲν τῶν χριστιανῶν ἔφευγον εἰς τὰ ὄρη καὶ σπήλαια, ἄλλοι δὲ ἐθανατώνοντο, αἱ ἱεραὶ μοναὶ ἠρημοῦντο, τῶν δὲ παρθένων τὰ ἡσυχαστήρια παντελῶς κατεδαφίζοντο. Τότε οἱ δήμιοι ὡς ἄγρια θηρία ἥρπασαν μίαν παρθένον ὑπέρλαμπρον ψυχῇ τε καὶ σώματι, τὴν κλίσιν Θεοφίλη καθὼς καὶ τὴν πρᾶξιν, τὴν ὁποίαν ἤγαγον βιαίως εἰς τὸ ἐργοστάσιον τῆς ὕβρεως· αὕτη δὲ βλέπουσα πρὸς τὸν οὐρανὸν ἐβόησε μετὰ δακρύων «Κύριε Ἰησοῦ Χριστέ, ὁ Ἔρως, τὸ φῶς μου, ὁ φύλαξ τῆς ζωῆς μου, ἴδε τὴν νυμφευθεῖσάν σοι, νυμφίε μου ἄμωμε, λύτρωσαί με ἀπὸ τὰ θηρία ταῦτα, καὶ φύλαξον τὴν παρθενίαν μου ἄσπιλον εἰς δόξαν καὶ αἶνον τοῦ παντοδυνάμου σου ὀνόματος,» καὶ ἀνεγίνωσκε τὸ Ἱερὸν Εὐαγγέλιον. Εἷς δὲ ἐκ τῶν ἀσεβῶν εἰσῆλθεν εἰς τὸν οἶκον ἵνα πράξῃ τὴν ἐπιθυμίαν του, καὶ εὐθὺς τρέμων ἐξέψυξε, ἀκολούθως δὲ εἰσῆλθεν ἄλλος καὶ εἶδε φῶς ἀνείκαστον ἀλλ' ἐκ τῆς λαμπρότητος τοῦ φωτὸς ἔμεινε τυφλός· τοῦτο ἔπαθον πολλοί· ὅσοι δὲ μὲ σωφροσύνην εἰσῆλθον εἰς τὸν οἶκον εἶδον νέον ὡραῖον καὶ ὑπέρλαμπρον ἄγγελον, ἱστάμενον ἐκ δεξιῶν αὐτῆς, καὶ ἔντρομοι ἐγένοντο ὅτε εἶδον τοιοῦτον παράδοξον θαῦμα· ἐξελθόντες δέ, μέγας ὁ Θεὸς τῶν χριστιανῶν ἐβόησαν· ὁ δὲ Ἄγγελος ἔλαβε τὴν παρθένον ἐκ τῆς αἰσχρᾶς οἰκίας ἀμόλυντον, καὶ ἐξῆλθε μετ' αὐτῆς· πορευόμενος δέ, τὴν ὡδήγησεν εἰς τὴν ἐκκλησίαν τῶν πιστῶν, καὶ εἶπε πρὸς αὐτὴν εἰρήνη σοι· ἡ δὲ ἐκθαμβουμένη, χαίρουσα

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟΝ ΔΙΕΥΘΥΝΤΗΣ ΓΕΩΡΓΙΟΣ ΠΑΠΑΣΤΑΘΟΠΟΥΛΟΣ

καὶ κρούουσα τὴν θύραν, διότι ἐκείνην τὴν νύκτα ὁ Ἱεράρχης Ἄνθιμος μὲ ὅλους τοὺς χριστιανοὺς ἐώρταζε τὰ γενέθλια τοῦ Χριστοῦ ἐν τῇ ἐκκλησίᾳ, οἵτινες ὅτε εἶδον ἀνελπίστως τὴν Θεοφίλην ἐθαύμαζον. Αὐτὴ δὲ καὶ οἱ πιστεύσαντες ἐδιηγήθησαν πάντα, ὅσα ὁ παντοδύναμος Θεὸς ἐτέλεσε θαυμασίως, δοξάζοντες καὶ εὐχαριστοῦντες αὐτόν. Ὁ δὲ Μαξιμιανὸς ὡς ἤκουσεν αὐτὰ εὐθὺς διέταξε νὰ ἀναῤῥῶσι ξύλα πέριξ τῆς ἐκκλησίας ἵνα κατακαῶσιν οἱ ἐν τῇ ἐκκλησίᾳ χριστιανοί. Ὅπερ ἐννοήσας ὁ θεῖος Ἱεράρχης Ἄνθιμος καὶ θείας χάριτος πλησθείς, ἔστη εἰς τὸ πέρας τοῦ θυσιαστηρίου λέγων· ἐνθυμηθεῖτε ἀδελφοί μου φιλόχριστοι, τέκνα ἡμῶν ἐν Κυρίῳ· πολλάκις θαυμάζομεν τὴν ἀνδρίαν τῶν τριῶν παίδων καὶ τὴν εὐσέβειαν αὐτῶν, οἵτινες ἱστάμενοι ἐν μέσῳ τῆς φλογὸς προὐκάλουν πρὸς ὑμνῳδίαν τοῦ κτίστου τὴν κτίσιν ἅπασαν. Ἐπεθύμουν δέ, ἵνα καὶ ἡμεῖς γένωμεν συγκοινωνοὶ τῆς δόξης αὐτῶν· καὶ ἐκεῖνοι μὲν ἦσαν τρεῖς καὶ οὐδὲ εἶχον ἄλλων προτέρων ὑπόδειγμα, ἡμεῖς δὲ τοσοῦτον πλῆθος ὄντες, καὶ ἔχοντες οὐ μόνον ἐκείνους, ἀλλὰ καὶ τὸν Κύριον τῆς δόξης τὸν ἐπὶ ξύλου κρεμάμενον διὰ τὴν σωτηρίαν ἡμῶν, πῶς ἡμεῖς νὰ μὴ γένωμεν συγκοινωνοὶ εἰς τὸ ἅγιον αὐτοῦ πάθος; Ἰδοὺ καιρὸς εὐπρόδεκτος, ἰδοὺ καιρὸς σωτηρίας, ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός, ὅπως ἀξιωθῶμεν τῆς αἰωνίου βασιλείας. Ταῦτα εἰπὼν ὁ ἀείμνηστος, συναγωνιζόμενος βαπτίζει ἅπαντας, καὶ τὴν θείαν λειτουργίαν ἐπιτελέσας μετέδωκεν αὐτοῖς τὰ θεῖα καὶ ἄχραντα μυστήρια, καὶ οὕτως ἀνήφθησαν τὰ φρύγανα. Οἱ δὲ ἅγιοι ἔσωθεν, ἔψαλλον τὴν φωνὴν τῶν τριῶν παίδων, πᾶσαν τὴν κτίσιν, πρὸς ὑμνῳδίαν θεοῦ, καὶ δοξολογίαν καλούμενοι, καὶ κατεκάησαν ὅλοι οἱ εὑρεθέντες χριστιανοὶ ἐν τῇ ἐκκλησίᾳ, οἵτινες ἦσαν τὸν ἀριθμὸν εἴκοσι χιλιάδες. Ὁ δὲ ἅγιος Ἄνθιμος δὲν ἐκάη, ἀλλὰ διεφυλάχθη ἀβλαβὴς ἐκ θείας χάριτος, ἵνα καὶ ἄλλους ὠφελήσῃ ἐκ τῆς διδασκαλίας του βαπτίσῃ δὲ καὶ προσφέρῃ αὐτοὺς σεσωσμένους εἰς τὸν Χριστόν, ἀνεχώρησε δὲ εἰς τινα κωμόπολιν, ἵνα φροντίσῃ περὶ τοῦ λοιποῦ ποιμνίου του ὡς καλὸς ποιμὴν τὸν λόγον τῆς ἀληθείας σπείρων, καὶ τὸ τάλαντον τῆς πίστεως πολλαπλασιάζων, ἐπιστρέφων πολλοὺς εἰς θεογνωσίαν, καὶ ἐπιστηρίζων εἰς εὐσέβειαν. Καὶ ὅσοι περὶ Μαρδόνιον καὶ Μυγδόνιον Πέτρον, καὶ τὸν καρτερικώτατον Ζήνωνα, καὶ οὗτοι οὐκ ἔμειναν ἄγευστοι τῆς εὐσεβείας βλέποντες τὴν σπουδὴν τοῦ Ἱεράρχου. Διότι καὶ αὐτοὶ τὸν ἴδιον πρὸς Χριστὸν ἐπεδείξαντο πόθον μὴ ἀνεχόμενοι ν' ἀπολειφθῶσι τῆς ἴσης μαρτυρίας. Τοσαύτη λοιπὸν ἐπίδοσις τῆς εὐσεβείας ὑπὸ τοῦ θαυμαστοῦ Ἀνθίμου εἰς πολλοὺς ἐγένετο. Λοιπὸν ἡ ἀρετὴ καὶ ἐνταῦθα

δῆλον ποιεῖ τὸν Ἄνθιμον τὸ ἄνθος τῆς εὐσεβείας. Καὶ πάλιν καταμηνύεται μεταξὺ ἐρευνωμένων χριστιανῶν, ὁ νῦν μὲν ἐν Ἱερεῦσι μέγας, μετὰ μικρὸν δὲ μεταξὺ τῶν μαρτύρων. Ὁ δὲ Μαξιμιανὸς πέμπει εἴκοσιν ἱππεῖς, ἵνα συλλάβωσι τοῦτον καὶ φέρωσι παρ' αὐτῷ. Οἱ δὲ πεμφθέντες ἱππεῖς ἐν τῇ Σημάνῃ (διότι τοῦτο ἦν τὸ ὄνομα τῆς κώμης) εὑρίσκουσιν ἐκεῖ τὸν Ἄνθιμον, καὶ οὐδόλως γνωρίζοντες αὐτόν, ἠρώτων τὸν ἴδιον Ἄνθιμον περὶ τοῦ Ἀνθίμου. Τίς ἐστι, ἔλεγον οὗτος καὶ εἰς ποῖον μέρος τῆς κώμης κατοικεῖ; Ὁ δὲ ἀγαθὸς φιλόξενος καὶ φιλαλήθης πατὴρ πρῶτον μὲν παρέλαβε τούτους πρὸς φιλοξενίαν, καὶ παρέθηκεν εἰς αὐτοὺς δεῖπνον, ἄρτον καὶ κυάμους, ἀφ' οὗ δὲ ὡς ἡδυνήθη ἐφιλοξένησεν αὐτούς, ἔπειτα ἀπαγγέλλει αὐτοῖς, ὅτι ὁ ἴδιος ἐστὶν ὁ Ἄνθιμος, ὅπερ ἐκεῖνοι ἀκούσαντες ἔμειναν ἐκστατικοί, καὶ οὐδόλως ἠδύναντο νὰ ἀντιβλέπωσιν εἰς τὴν πολιάν του· ἀναλογιζόμενοι μὲν τὴν τράπεζαν, τὸν δεῖπνον καὶ τὴν φιλοξενίαν, ἐνθυμούμενοι δὲ πάλιν, πρὸς ποῖον σκοπὸν ἐπέμφθησαν, καὶ πρὸς ποῖον σκοπὸν μέλλουσι νὰ φέρωσιν αὐτὸν παρὰ τῷ Μαξιμιανῷ, ἐξάπαντος πρὸς κάκιστον σκοπόν, καὶ πρὸς ὁμολογουμένην τιμωρίαν, ὡς ἐκ τούτου περισσότερον ἐλύπει αὐτῶν τὰς ψυχὰς καὶ ἐξ αἰδοῦς δὲν ἠδύναντο νὰ ἀτενίσωσι πρὸς τὸν Ἄνθιμον, ἐπειδὴ καὶ ἀψευδῆ μηνυτὴν τοῦ σεβασμίου ἀνδρὸς ὃν ἐζήτουν, ἀπὸ τὸ στόμα αὐτοῦ ἤκουσαν καὶ παρὰ τῆς τοῦ ἰδίου γλώσσης μανθάνοντες, ὅτι, αὐτός ἐστιν ὁ Ἄνθιμος, ἕνεκα τούτου ἐθαύμαζον τὴν φιλαλήθειαν τοῦ πατρός, καὶ ἄφησαν αὐτὸν ἑκουσίως, καὶ προέτρεπον αὐτὸν νὰ ἀναχωρήσῃ. Διότι ἐγνώριζον ὅτι οὐδὲν καλὸν θὰ ἀπολαύσῃ, ὅταν παρουσιασθῇ παρὰ τῷ Μαξιμιανῷ· εἰς ἡμᾶς δὲ ἀρκεῖ εἶπον εἰς ἀπολογίαν ὅτι καθ' ὅλην τὴν Νικομήδειαν τὸν ἐζητήσαμεν, ἀλλ' οὐκ ἠδυνήθημεν νὰ εὕρωμεν αὐτόν· ἀλλ' ὁ Ἱερὸς Ἄνθιμος διὰ παντὸς μελετῶν τὰς ἐντολὰς τοῦ Θεοῦ, διδάσκων δὲ καὶ προτρέπων αὐτοὺς νὰ εἴπωσι τὴν ἀλήθειαν ἐν καρδίᾳ, μηδὲ διὰ τῶν χειλέων αὐτῶν παρεδέχθη νὰ ψευσθῶσι δι' αὐτοῦ, ἄλλως τε καὶ τὸν ὑπὲρ Χριστοῦ θάνατον διψῶν, ἀνεχώρησε μετ' αὐτῶν ἐκεῖθεν· ἐν ὁδῷ δὲ βαδίζων ἔδωκεν αὐτοῖς πολλὰς εὐσεβεῖς παραινέσεις καὶ διηγήθη αὐτοῖς περὶ τῶν μελλόντων ἀγαθῶν, πάντα ἀσεβῆ λογισμὸν αὐτῶν ἐξομάλυνε, καὶ ἀφ' οὗ παρεσκεύασε τὴν ψυχὴν αὐτῶν πρὸς ἀποδοχὴν τῶν θείων ἐπαγγελιῶν τοῦ Ἱεροῦ Εὐαγγελίου προαναγινώσκει τὰς θείας εὐχάς, ἔπειτα εἰς ποταμόν τινα καθ' ὁδὸν φθάσας βαπτίζει αὐτούς, καὶ ἐξακολουθεῖ πάλιν τὴν ὁδοιπορίαν αὐτοῦ, ἕως ὅτου ἦλθεν εἰς τὴν πόλιν, καὶ εἰσῆλθεν εἰς τὸ βῆμα τὸ τυραννικὸν κατὰ διαταγὴν βασιλικήν, ὀπίσω μὲν τὰς χεῖρας δεδεμένας, εἰς οὐρανοὺς δὲ τὴν διά-

ΕΘΝΙΚΟΝ ΜΑΚΑΡΙΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

νοιαν ἀτενίζων ἐπεκάλει τὴν ἐξ ὕψους βοήθειαν, ἵνα ἔλθῃ αὐτῷ. Ὁ δὲ βασιλεὺς βουλόμενος νὰ ἐπιδείξῃ τῷ Ἀνθίμῳ καὶ ἀπὸ ψιλῆς τῆς θέας τὸ πικρὸν τῆς δοκιμῆς τῶν βασάνων, κατὰ πρῶτον μαλακώτερον προσεφέρθη αὐτῷ, ἐκθέσας δημοσίᾳ πρότερον τὰ τῶν κολαστηρίων ὄργανα, ἔπειτα δὲ εἰσκαλέσας αὐτόν, εἶπε· «Σὺ εἶσαι ὁ λεγόμενος Ἄνθιμος κατόπιν τοῦ Χριστοῦ πλανηθείς;» ὅστις ὡς ἀνωφελὴς καὶ εὐκολόπιστος ἄνθρωπος ἀπατηθείς, ἐκτοξεύεις μυρίας ὕβρεις κατὰ τῶν ἡμετέρων θεῶν; Ὁ δὲ διὰ τὰ προκείμενα τῶν κολαστηρίων ὄργανα ἐπίσης καὶ διὰ τοὺς λόγους τοῦ τυράννου γελάσας, εἶπε· γνώριζε ὦ Βασιλεῦ, ὅτι οὐδὲ ἤθελον νὰ σοὶ ἀποκριθῶ πρὸς ταῦτα. Ἐὰν μὴ μὲ ἔπειθεν ὁ Ἱερὸς διδάσκαλος Παῦλος διδάσκων «Ἑτοίμους ἡμᾶς εἶναι παντὶ τῷ αἰτοῦντι λόγον διδόναι. Ἐπηγγείλατο γὰρ ἡμῖν ὁ Θεὸς στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ἡμῖν,» ὅτι ἐγὼ καὶ πρότερον καλῶς γνωρίζων τὴν πολλήν σου παχύτητα τῆς περὶ τὰ εἴδωλα πλάνης, τώρα σέ, καὶ τοὺς ἰδικούς σου, ὡς λέγεις, θεοὺς θὰ ἀποδείξω φανερὰ ἀμαθεῖς διότι ἤλπισας ἐμὲ ὅλως νὰ προσηλυτίσῃς καὶ ἀπὸ τοῦ ἁπάντων δημιουργοῦ νὰ μὲ ἀποστήσῃς, ὅστις καὶ σὲ τὸ ἀχάριστον πλάσμα ἐτίμησε τῇ ἑαυτοῦ εἰκόνι. Διατί δὲ μὲ παρέστησας δεσμώτην ἐν τῷ βήματι καὶ τὰ τῶν βασάνων προὐτέθηκας ὄργανα; Ἵνα βιάτας καταπείσῃς με ἢ καταπλήξῃς με διὰ τούτων; Εἰς ἄλλους τινὰς τῶν ἀγενεστέρων πρέπει νὰ προσφέρῃς ταῦτα, εἰς τοὺς ὁποίους ὁ παρὼν βίος ἐστὶν ἡδονή, καὶ τὸ νὰ στερηθῶσι τούτου εἶνε ἡ μεγίστη τῶν τιμωριῶν. Εἰς ἐμὲ δὲ καὶ αὐτὸ τὸ πήλινον σῶμα εἶναι δεσμωτηρίου παντὸς χαλεπώτερον, διότι ἐμποδίζει τὴν ψυχήν μου νὰ διαβῇ πρὸς τὸν ποθούμενον Θεόν· ὥστε ἀπειλαί, τιμωρίαι καὶ βάσανοι μοὶ εἶναι ποθεινότεραι ἀπὸ πᾶσαν διατριβὴν καὶ ζωὴν τὰς ὁποίας κατόπιν ἐπακολουθεῖ ὁ θάνατος, ὅστις ἀπολύσας με τῶν δεσμῶν τῆς σαρκός, θὰ μὲ πέμψῃ πρὸς τὰ ποθούμενα. Ταῦτα τοῦ μεγάλου κατὰ τὴν Ἀρχιερωσύνην, καὶ μείζονος κατὰ τὴν ἄθλησιν διηγησαμένου. Ὁ Βασιλεὺς εἶπεν, ὅτι ταῦτα εἰσὶ μακρὰ φλυαρία· θὰ ἴδῃς μετὰ ταῦτα· καὶ πρὸς ἑαυτὸν ὑποψιθυρίσας, προστάττει διὰ λίθων νὰ τύπτωσιν αὐτόν. Ὁ δὲ γενναῖος Ἄνθιμος ἐπειδὴ ἀπ' ἀρχῆς ἐπόθει τῶν διὰ Χριστὸν ἄθλων καὶ ἤλπιζεν, ἵνα λάβῃ ἐκ θείας προνοίας τὸν στέφανον τῆς ἀθλήσεως, ἐκ τούτου πράως τὰς παρούσας πληγὰς ἐδέχετο, καὶ ἐπιπονωτέρας ἐζήτει ἀφ' ἑνὸς μὲν ἐπιθυμῶν, ἵνα ἐπιτύχῃ λαμπρότερα καὶ τὰ ἔπαθλα, ἀφ' ἑτέρου δὲ καὶ τὸν τύραννον ἐπιχλευάζων τῇ τῆς μανίας φλογὶ σφόδρα κατακαίων αὐτοῦ τὴν ψυχήν· καὶ ἐφαίνετο ὡς νὰ διηρέθιζεν αὐτὸν εἰς ἀλγεινοτέρας καὶ πολλῷ μείζονας κολάσεις. Θεοί, εἶπεν ὁ Ἱερὸς Ἄνθιμος, οἱ ὁποῖοι τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· μέσης δὲ αὐτῆς τῆς καρδίας τοῦ Μαξιμιανοῦ κατεκέντησεν ὁ λόγος τοῦ μάρτυρος, καὶ εὐθὺς διατάττει ἵνα περόναις σιδήρου πεπυρωμέναις τοὺς τοῦ μάρτυρος διατρυπήσωσιν ἀστραγάλους, τῷ δὲ μάρτυρι ἡ βάσανος ἦτο μεγίστη ἡδονή, διότι ἐτύγχανεν ἐκείνων, ὧν ἐπόθει καὶ μικρὰν χάριν ἀπέδιδε τῷ Μαξιμιανῷ, ἕνεκα τῶν κολάσεων, οὕτως ἐδίψα ὁ Ἄνθιμος, ἵνα ἑνωθῇ τῷ Χριστῷ λέγων τὸ προφητικὸν «ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα, πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ μου;» Ὁ δὲ Μαξιμιανὸς ἔχων τυραννικὸν πνεῦμα ἐνόμιζεν ἕνεκα τῆς αὐστηρότητος τῶν κολάσεων νὰ νικήσῃ τὴν γενναίαν σταθερότητα τοῦ Μάρτυρος, ὅθεν καὶ προστάττει ὄστρακον εἰς τὸ ἔδαφος νὰ στρωθῇ, εἶτα γυμνὸν ἐν αὐτῷ ἐπιτεθέντα τὸν ἀθλητήν, διὰ ῥάβδων σφοδρότερον νὰ τύπτωσιν αὐτόν, ἵνα διὰ τοῦ ῥαβδίου τῶν πληγῶν ἄνωθεν· καὶ διὰ τῶν κάτωθεν ὀστράκων αἰσθανθῇ ἡ ψυχὴ αὐτοῦ διπλασίως τὰ τῆς ὀδύνης. Ὁ δὲ Ἄνθιμος μηδὲ ἐνταῦθα τὴν νίκην ἀπογνούς, ταῦτα τὰ ῥήματα ἔψαλλεν «Εὐχαριστῶ σοι, Δέσποτα Βασιλεῦ τῶν αἰώνων!, ὅτι περιέζωσας μοι δύναμιν ἐξ ὕψους, καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον καὶ τοὺς μισοῦντας με ἐξωλόθρευσας καὶ συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου·» πάλιν ὁ Μαξιμιανὸς ἐπενόει καὶ ἕτερα κολαστήρια καὶ προστάττει τῷ Μάρτυρι νὰ ὑποδεθῇ χαλκᾶς περικνημίδας ἐκπυρωθείσας, καθὼς οὖν ἐκέλευσε γέγονε, καὶ τῶν μακαρίων ἐκείνων ποδῶν, τὸ σφοδρότατον δὴ τοῦτο καὶ εἰς ὀδύνης λόγον ἀφορητότατον, τὰς πεπυρωμένας κνημίδας ἁρμοσαμένων, θεία τις ἄνωθεν τῷ γενναίῳ ἐφίσταται, χάρις, καὶ φωνήν, ἐπὶ μᾶλλον ἐνισχύουσαν αὐτὸν ἀκούει, καὶ ἔπαθλα ὑπισχνουμένης, ἥτις ἔλεγεν: ἐντὸς ὀλίγου ἀνθεολαμπροακτινοστεφάνῳ ἀθλοφορεῖς· καὶ ἡ φωνὴ πρὸς τὸ εὐθυμώτερον τὴν ψυχὴν αὐτοῦ μεταβάλλει, καὶ φαιδρότερον διατίθησι τὸ πρόσωπον αὐτοῦ, καὶ μειδίαμα χαρίεν τοῖς χείλεσιν αὐτοῦ ἐπεφάνη, τὴν ἔνδον γαλήνην τῆς καρδίας αὐτοῦ ὑποσημαίνων. Ταῦτα λοιπὸν βλέπων ὁ Μαξιμιανὸς ἐξεπλήττετο μέν, καθὼς ἦτο ἐπόμενον, ὄχι διότι οὐκ ἔμελλεν αὐτόν, μᾶλλον ἐθαύμαζε ταῦτα· ἀλλὰ ἐκ τῆς ἀπιστίας αὐτοῦ, τὰ γινόμενα γοητείαν ἐκάλει, καὶ τὴν αἰτίαν ἠρώτα νὰ μάθῃ, ὁ δὲ δίκαιος εἶπεν, «ὦ Βασιλεῦ τὰ παρόντα προοίμιά μοι εἶναι χρηστὰ καὶ ἀψευδὴς τῶν μελλόντων ἐπαγγελία. Πρὸς δὲ τάχιον θὰ αἰσθανθῇς, ὅτι μάτην κομπάζεις, καὶ θεοὺς οὓς ὀνομάζεις, αὐτοὺς θὰ ἀποδείξω ἀσθενεστέρους, πολλῷ δυνάμεως ἀνθρωπίνης, ὥστε νὰ μεταμεληθῇς διὰ τὴν πεῖραν τῶν βασάνων, ἣν ἐπιδεικνύεις εἰς ἐμέ. Διότι

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟΝ
ΚΕΝΤΡΟΝ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ
ΜΟΥΣΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΠΙΜΕΛΕΙΑ ΔΗΜΗΤΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ὅσον τὸ γρηγορώτερον οὐκ ἀπηλλάγης ἀφ' ἡμῶν, τοῦτο νὰ κρίνῃς ὅτι οὐκ ἔστι ἡ τυχοῦσα μου ζημία.

Ἕνεκα τούτων ὀργισθεὶς ὁ Βασιλεύς, προστάττει ἐπάνω εἰς τροχὸν νὰ δέσωσι τὸν μάρτυρα, νὰ συστρέφωσι μὲν αὐτὸν συνεχῶς σὺν τῷ τροχῷ, διὰ λαμπάδων δὲ μὲ πῦρ τὰς σάρκας αὐτοῦ νὰ καταδαπανῶσι καὶ νὰ λυώνωσι. Τὸ δὲ πρόσταγμα τοῦ Μαξιμιανοῦ εὐθὺς ἐγένετο ἔργον, καὶ κατέχοντες οἱ δήμιοι τὰς λαμπάδας ἐν ταῖς χερσὶν αὐτῶν μὲ πῦρ ἐπλησίασαν κατὰ τοῦ τροχοῦ, πῦρ πνέοντες, πῦρ ὁρῶντες, πῦρ φέροντες· αἱ δὲ ψυχαὶ αὐτῶν θερμότεραι τοῦ ἐν χερσὶ πυρὸς οὖσαι ἐβούλοντο ὡς φλόγα ποιῆσαι τὸν ἀθλητήν. Ἀλλ' ὦ τῆς θαυμαστῆς σου περὶ τὸν ἄνδρα Χριστὲ δυνάμεως. Ἕστη μὲν εὐθὺς τῆς κινήσεως ὁ τροχός, οἱ δὲ κατὰ γῆς πεσόντες, πίπτουσι ἀπὸ τῶν χειρῶν αὐτῶν αἱ λαμπάδες ἀνεπαισθήτως, καθ' ὅτι αἱ χεῖρες αὐτῶν ἔμειναν ὡς νεκραὶ καὶ ἔρημοι ὡς νὰ κατερράθυμει αὐτοὺς ὕπνος τις. Τούτου δ' ἕνεκα ὠργίσθη ὁ Βασιλεὺς καὶ κατέκρινε τοὺς δημίους ὡς ἀμελεῖς τῶν προστάξεων αὐτοῦ καὶ ἀνικάνους ὡς πρὸς τὰς χεῖρας αὐτῶν. Ὅρα ἀπιστίαν! οὐδὲ νὰ ἀναλάβωσι δύνανται, οὐδὲ ἱκανοί εἰσι νὰ μεταχειρισθῶσι τὰς χεῖρας αὐτῶν· ἀλλ' ἀγνοῶν ὁ μάταιος ὅτι θεία δύναμις ἔσβεσεν αὐτῶν τὴν ἰσχὺν καὶ οὐχὶ ὁ ὄκνος, πῶς ; μὲ τόσην τόλμην, ἔλεγεν, ἤλθετε καὶ τόση ὀκνηρία κατέλαβεν ὑμᾶς ; τοῦτον λοιπὸν προϋτιμήσατε τοῦ ἡμετέρου προστάγματος, ὥστε ἡμιτελῆ μὲν τὰ ἐπιταχθέντα νὰ καταλείπητε, νὰ κατακλιθῆτε δὲ εἰς τὸ ἔδαφος, ἵνα εὐχαριστηθῆτε καὶ ὡς πεπονηκότες ἐκ τοῦ κόπου διὰ νὰ ἀναπαυθῆτε ; Οἱ δὲ ἀπεκρίναντο : Ὦ Βασιλεῦ, οὐδὲ βραδεῖς περὶ τὰς σὰς προστάξεις ἠμεθα, οὐδ' ἤλθομεν εἰς τοιαύτην τόλμην, οὐδὲ ὑπὸ ὀκνηρίας κατελήφθημεν, οὐδ' ἀπὸ τοῦ πολλοῦ κόπου ἀπέκαμον αἱ χεῖρες ἡμῶν· ἀλλὰ φοβερά τις ὄψις οὕτω διέθηκεν ἡμᾶς, καὶ εἴμεθα παραλελυμένοι τὰς χεῖρας, καὶ ὅλως ἐκλελυμένοι ἤδη εὑρισκόμεθα εἰς μεγίστην ἀτονίαν. Διότι τρεῖς ἄνδρες λευκοὶ μὲν τὴν θέαν, λευκοὶ τὴν ἀναβολήν, φοβεροὶ δὲ τὸ εἶδος ἐπιφανέντες ἡμῖν μὲ πικρὸν καὶ ἄγριον βλέμμα, καὶ τὸ ἀπὸ τῶν χειρῶν ἡμῶν κατεχόμενον τῶν λαμπάδων πῦρ, ἐναντίον ἡμῶν στρέψαντες, εὐθὺς διέταξαν νὰ ἀποστῶμεν ἀπὸ τοῦ Ἀνθίμου, μὲ φαιδροτέραν δὲ φωνὴν ἐκάλουν τοῦτον θεράποντα Θεοῦ. Οὕτω κατανικοῦσι καὶ φέρουσιν ἡμᾶς, ὡς βλέπεις, εἰς τοιαύτην θέσιν. Ἐν ὅσῳ δὲ οὗτοι μεταξὺ αὐτῶν διελέγοντο ταῦτα, ὁ δὲ τροχὸς οὐ συνεστρέφετο οὐδ' ἐκινεῖτο, ὁ Μάρτυς θερμοτέραν τῷ Θεῷ προσέφερε τὴν εὐχαριστίαν, καὶ πλείονος ἐκεῖθεν ἀνέλαβε τῆς χρηστότητος. Ὁ Μαξιμιανὸς δὲ θέλων νὰ ἀποδείξῃ, ὅτι τοῦτο συνέβη ἐξ ἀμελείας τῶν δημίων, καὶ

οὐχὶ ἐκ τῆς μαρτυρικῆς ἐκείνης πρὸς Θεὸν παῤῥησίας, τὸν διὰ ξίφους θάνατον αὐτῷ ἠπείλει, ἐὰν μὴ θύσῃ τοῖς Θεοῖς. Ὁ δὲ Ἄνθιμος τὴν ἀπειλὴν μετὰ μείζονος εὐχαριστίας ὑποδεχόμενος, ἐν ὅλῃ καρδίᾳ τοῦ Θεοῦ ἐδέετο, νὰ καταξιωθῇ εἰς τὸν χορὸν τῶν δισμυρίων Μαρτύρων σεμνυνόμενος δὲ νὰ λέγῃ « Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοὶ ἔδωκεν ὁ Θεὸς κτλ. » Ὁ δὲ Μαξιμιανὸς ἐπειδὴ ἔβλεπεν, ὅτι τὸ τέλος τοῦ Ἀνθίμου θὰ ἀποβῇ μᾶλλον κατ' εὐχὴν αὐτοῦ, εἶπε, γνωρίζω ἡμῶν τῶν χριστιανῶν τὸ λίαν δοξομανὲς καὶ φιλότιμον, ὅτι διὰ τὸ παράβολον τοῦ τολμήματος νὰ τύχωσι ὁποιουδήποτε ὀνόματος, ὀρέγεσθε τὸ ἔσχατον ἁπάντων τῶν κακῶν νὰ προτιμᾶτε τὸν βίαιον θάνατον· ἀλλ' οὐδὲν θὰ ἐπιτύχῃς ἢ ἀφ' οὗ πρότερον σὲ περιβάλω διὰ πολλῶν τιμωριῶν, ἔπειτα καὶ τοῦ παρόντος φωτὸς θὰ σὲ ὑστερήσω, διότι οὐκ ἔστι σου ἄξιον τοσαύτης ἡδονῆς καὶ τηλικούτων ἀγαθῶν. Ὁ δὲ Μάρτυς εἶπεν, ἀληθῶς οὐκ ἔστι μου ἀξία ἡ παροῦσα ἡδονή, καὶ τὸ φῶς, ἵνα μὴ σὲ ἰδῶ τὸ ἀχάριστον πλᾶσμα. Ὡς ἐκ τούτου λοιπὸν μὲ σίδηρον αὐτὸν καὶ ἀλύσεις δεσμοῦσι καὶ πρὸς τὸ τῶν κακούργων ἄγουσι δεσμωτήριον· ἀλλ' ἡ γλῶσσα αὐτοῦ τὰ συνήθη καὶ πάλιν πρὸς τὸν Θεὸν ἔψαλλε, καὶ τῶν ἀλύσεων δεσμῶν διαλύεται. Οὐδὲ αὐτοὺς τοὺς ἄγοντας αὐτὸν δημίους ἀμετόχους ἀφῆκεν ἐκ τοῦ θαύματος, ἀλλὰ πρηνεῖς καὶ τούτους ἡ γῆ εἶχε τῷ παραδόξῳ τῆς θέας καταπλαγέντας. Διότι θεία χάρις ἄνωθεν τῷ μάρτυρι ἐπελθοῦσα καὶ φῶς ἐξαστράπτων περιεκύκλου αὐτόν· τοὺς δὲ παραλαβόντας αὐτὸν δημίους μετὰ τῶν σιδηρῶν ἐκείνων δεσμῶν ὧν περιέκειτο ἀμέσως ῥίπτει κατὰ γῆς μηδὲν λέγοντας, μηδὲ νὰ καλύψωσι τοὺς ὀφθαλμοὺς αὐτῶν δυνηθέντας. Ὁ δὲ Μάρτυς ἀναστήσας αὐτούς, ἐπιτρέπει νὰ ἐξακολουθήσωσι τὴν ὁδὸν αὐτῶν· καὶ ἀφ' οὗ εἰσῆλθον ἐν τῷ δεσμωτηρίῳ ὁ Ἄνθιμος χαίρων ὡς νὰ εἰσήρχετο εἰς εὐωχίαν, καὶ τοὺς ἐκεῖ ὄντας προσέθηκε τὸν τῆς πίστεως ἄρτον μετὰ μεγίστης φιλοφροσύνης ἐδεξιώσατο αὐτούς, καὶ τὴν εὐσέβειαν διδάξας ὅλως τῷ Χριστῷ οἰκειοῖ καὶ υἱοθετεῖ αὐτοὺς διὰ τοῦ Ἁγίου Βαπτίσματος. Ὁ δὲ Μαξιμιανὸς τοῦτο μαθὼν καὶ φοβηθεὶς μήπως ζημιωθῇ ἐξ αἰτίας του πολλῶν ἄλλων, παρίστησι πάλιν τὸν ἀθλητὴν ἔμπροσθεν αὐτοῦ, καὶ πάλιν παρακαλεῖ ἐπὶ τὸ θυσιάσαι τοῖς ἐκείνου θεοῖς, ὑπόσχεται δὲ καὶ ἆθλον τῆς συγκαταθέσεως αὐτοῦ τὴν Ἱερωσύνην. Ὁ δὲ Ἄνθιμος μετὰ πολλῆς παῤῥησίας εἶπε πρὸς αὐτόν. Ἐγὼ καὶ πρὸ τῆς ὑποσχέσεώς σου ταύτης εἰμὶ Ἱερεὺς τοῦ πρώτου καλοῦ ποιμένος καὶ ἀρχιερέως Χριστοῦ τοῦ Θεοῦ, ὅστις ἀπὸ τὴν μεγίστην φιλανθρωπίαν του καὶ ἄκραν συγκατάβασιν ἄῦλος καὶ ἀπερίληπτος ὢν ὄχι μόνον γίνεται ἄνθρωπος μεταλαμβάνων τῆς ἡμετέ-

ΕΘΝΙΚΟΝ ΜΑΚΑΡΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΙΣΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ρας σαρκός, καὶ μέχρις ἡμῶν κατελθὼν καὶ δι' ἡμᾶς ταῦτα πράττων, ἀλλὰ καὶ ἑαυτὸν προσέφερε θυσίαν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, σταυρωθεὶς θανάτου γευσάμενος καὶ τριήμερος ἀναστὰς καὶ εἰς οὐρανοὺς ἀνελθὼν πάλιν συναναφέρων ἡμᾶς τοὺς ἐκεῖθεν διὰ τὴν παρακοὴν πεπτοκώτας. Τούτου εἰμὶ Ἱερεὺς ἐγὼ καὶ εἰς τοῦτον προτιμῶ νὰ προσαγάγω ἐμαυτὸν θυσίαν, τὰ δὲ ὑμέτερα καὶ οἱ ὑμέτεροι Θεοί, οὓς ἀποκαλεῖτε, εἰσὶν ἄξιοι τοῦ σκότους καὶ εἰς τὰς γωνίας θρήνους μᾶλλον διὰ τὴν ἀπώλειαν καὶ συμφορὰν ὑμῶν λοιδορητέοι. Ἕνεκα δὲ τούτων ὀργισθεὶς πολὺ ὁ Μαξιμιανὸς προστάττει τὸν γενναῖον Ἄνθιμον, νὰ φέρωσιν εἰς τὴν ὁδὸν τοῦ θανάτου· φέρεται λοιπὸν ὁ ἀθλητής, ἔχων ἐν ἑαυτῷ ἐνακμάζουσαν τὴν ἡδονὴν ἕνεκα τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν, διότι ἔμελλε νὰ διαβῇ διὰ τοῦ θανάτου πρὸς τὴν ζωήν, καὶ νὰ ἀγάλληται μετὰ τῶν ἀγγέλων καὶ τῶν μαρτύρων εἰς τὰς αἰωνίους σκηνάς· αἰτήσας δὲ καιρὸν εἰς προσευχήν, καὶ τὰ τελευταῖα προσευχόμενος, καὶ διαλεχθεὶς τῷ Θεῷ, τὴν μακαρίαν ἐκείνην κεφαλὴν ἀφαιρεῖται τῇ τρίτῃ τοῦ Σεπτεμβρίου μηνὸς καὶ τῷ τρισηλίῳ Θεῷ παραδίδει τὴν ἁγίαν αὐτοῦ ψυχήν. Πρὸς τὸ ἑσπέρας δὲ παραγενόμενοι τινὲς τῶν πιστῶν, τὸ τίμιον ἐκείνου σῶμα ὁσίως καὶ λαμπρῶς περιστείλαντες, παρ' αὐτῷ τῷ τόπῳ λίαν ἀξιοπρεπῶς κατατιθέασιν ἐν τῷ τάφῳ, δοξάζοντες Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τὴν μίαν Θεότητά τε καὶ Βασιλείαν, ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΜΗΝ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοκτίστου συνασκητοῦ τοῦ Μεγάλου Εὐθυμίου.

» Εἰδὼς σὺν εἶναι τὸν Θεὸν Κτίστην Πάτερ,
» Αὐτὸν πρὸ πάντων ἐξελέξω κτισμάτων.

Ὁ Ἅγιος Μάρτυς Ζήνων ἐν λέβητι μεστῷ μολύβδου κοχλάζοντος βληθεὶς τελειοῦται.

» Ζήνων ὁ θεῖος τῷ Θεῷ πόθῳ ζέων,
» Χαίρων ὑπῆλθε τοῦ μολύβδου τὸ ζέον.

Ἡ Ἁγία Βασίλισσα θρικτοῖς θηρίοις δοθεῖσα, καὶ μηδὲν βλαβεῖσα, ἐν εἰρήνῃ τελειοῦται.

Ὁ Ἅγιος Μάρτυς Χαρίτων ἐν λάκκῳ ἀσβέστου βληθείς, τελειοῦται.

» Εἰσδὺς Χαρίτων εἰς τὸν ἀσβέστου βόθρον,
» Ἄσβεστον εὗρε φῶς ἀκηράτου τόπου.

Ὁ Ἅγιος Μάρτυς Ἀρχοντίων λιμῷ τελειοῦται.

» Ἀρχοντίων λίμωττε κἀντεῦθεν τρύχε,
» Ἄρχοντα κόσμου, λαμίαν νοουμένην. (α)

Μνήμη τοῦ ἐν Ἁγίοις Βασιλέως Κωνσταντίνου τοῦ νέου, τετάρτου Υἱοῦ τοῦ Βασιλέως Ἡρακλείου, τοῦ βασιλεύσαντος ἐν ἔτει χμα'. (641).

» Χριστὸς Βασιλεὺς εὐσεβῆ Κωνσταντῖνον,
» ἐν Οὐρανοῖς ἔστεψε κοσμίῳ στέφει.

Ὁ Ἅγιος Ἱερομάρτυς Ἀριστίων Ἐπίσκοπος Ἀλεξανδρείας πυρὶ τελειοῦται.

» Ὡς εἰς ἄριστον τὴν πυρὰν σπεύδων τρέχεις,
» Ἄριστε Χριστοῦ Μαρτύρων Ἀριστίων.

Ὁ Ἅγιος νεομάρτυς Πολύδωρος, ὁ ἐν τῇ νέᾳ Ἐφέσῳ μαρτυρήσας, ἀγχόνῃ τελειοῦται.

» Δῶρον Θεός σε καὶ πολύ τε καὶ νέον,
» Δέδωκεν ἡμῖν Πολύδωρε τρισμάκαρ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

ᾨδὴ ζ. Θεοῦ συγκατάβασιν.

Ἀγάπῃ φλεγόμενος, τοῦ σοῦ Δεσπότου καλῶς διήνυσας, τοὺς μεγίστους ἀγῶνας τοῦ μαρτυρίου σου, Μάκαρ Ἄνθιμε, καὶ νῦν ἀγάλλῃ γηθόμενος ἔνδοξε, ἐν οὐρανίαις μοναῖς νῦν αὐλιζόμενος.

Θεοῦ ἐφιέμενος, ἰδεῖν τὴν δόξαν τὴν ἀνεκλάλητον, τῶν δεσμῶν τοῦ σαρκίου, διὰ βασάνων καὶ πολυπλόκων δεινῶν, τὴν

(α) Λαμία εἶναι ζῶον ἁρπακτικὸν μὲ μεγάλον λαιμόν, μὲ τὸ ὁποῖον παρομοιάζει ἐνταῦθα ὁ στιχουργὸς τὸν Διάβολον.

ΜΑΚΑΡΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΦΙΛΟΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

λύσιν τούτων εὐκόλως ἐνήργησας, εὐλογητὸς ἐκβοῶν ὁ τῶν Πατέρων Θεός.

Ἐκούσιον θάνατον, τὸν τοῦ θανάτου κράτος συντρίψαντα, ἐκμιμούμενος μάκαρ, ὑπέστης, ὅλως ἀπείρου χαρᾶς, καὶ εὐφροσύνως αὐτῷ ἀνεκραύγαζες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἱκέσιον δέησιν, ὑπὲρ ἡμῶν ἀεὶ Δέσποινα, τῷ Υἱῷ καὶ Θεῷ σου, ὡς Μήτηρ οὖσα, αὐτῷ δὴ προσάγαγε. Σὲ γὰρ προστάτιν εὐμενῆ πρὸς αὐτὸν προβαλλόμεθα· ῥῦσαι τοὺς πάντας πειρασμῶν καὶ πάσης θλίψεως.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ὅλως φαιδρὸς παρίστασο τῷ τυράννῳ κρινόμενος, καὶ τὴν ἀθείαν μυκτηρίζων πάνσοφε, σοφοῖς σου διδάγμασι, καὶ θεορθόγγοις λόγοις σου, καὶ τὴν οἰκουμένην συγκαλῶν τε πρὸς αἶνον, Χριστοῦ, βοῶν τοῖς πᾶσιν, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Νικομηδείας ἔπληξας, τοὺς λαοὺς ἐν τοῖς ἄθλοις σου, ἐναθλῶν γενναίως, καὶ νικῶν ἀπτοήτως τοῖς λόγοις σου, τυράννων ὁμότητα, καὶ ἀπειλὰς ἃς ἔτρεψας, χλεύην τῶν πολλῶν καὶ πιστῶν παῤῥησίαν, βοῶν ἀκαταπαύστως, Ἱερεῖς εὐλογεῖτε, πιστοὶ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἔχων θερμὴν πεποίθησιν, πρὸς τὸν Κύριον ἐνδοξε, τοὺς ἐγκαυχωμένους ἐν τοῖς τούτων ἅρμασιν, ἀνδρείως κατέστρεψας, καὶ ὁλοσκεύους ἔπνιξας, ὡς ἐν τῷ βυθῷ τοῦ Ἰσραὴλ τοὺς διώκτας, Μωσῆς ἐν τῇ θαλάσσῃ, σὺν αὐτῷ ἀνακράζων, λαὸς δοξολογεῖτε Θεὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὑμνῶ, ὃν βρέφος τέτοκας, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, ἄχραντε Παρθένε, συμφυῶς νοούμενον, Χριστὸν τὸν Θεὸν ἡμῶν,

καὶ σὲ τὴν τοῦτον γεννήσασαν, ἀνυμνολογῶν ἀκαταπαύστως κηρύττω, Μητέρα Θεοῦ ζῶντος, ὃν πρέσβευε Κυρία, σὺν τῷ κλεινῷ Ἀνθίμῳ πάντοτε.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Φερώνυμον τὴν κλῆσιν Πάτερ λαβών, ἄνθη τίμια Ἄνθιμε ἐβλάστησας τῶν ἀρετῶν, ὄντως εὐωδίασας τοὺς ἐν γῇ, ἐν οἷς καὶ τὸ πολύαθλον σῶμά σου, ὡς κρήνην καταλιπών, θαυμάτων παραδόξων, θεραπεύεις τὰ πάθη, τῶν μετὰ πόθου προσιόντων σοι.

Ἡλίου τηλαυγέστερον δαδουχεῖ, ἡ σεβάσμιος μνήμη σου Ἄνθιμε, ἐν ᾗ φαιδρῶς, ἔξαρχος χορεῖται Ἱεραρχῶν, καὶ τῶν Μαρτύρων τέρπονται, καὶ συνεορτάζομεν καὶ ἡμεῖς, οἱ πόθῳ σὲ τιμῶντες, τρισμάκαρ Ἱεράρχα, Νικομηδείας σεμνολόγημα.

Μνημόνευε Ἄνθιμε καὶ ἡμῶν, σεβομένων τὴν θείαν σου ἄθλησιν, καὶ πρὸς Θεόν, εὔχου τοῦ ῥυσθῆναι πάντας ἡμᾶς, τῶν ὀδυνῶν καὶ θλίψεων, τῶν ἐπερχομένων διηνεκῶς, φυγεῖν δὲ τῶν μελλόντων, ἐν ὥρᾳ καταδίκης, ἀκατακρίτους, ἡμᾶς ποίησον.

Θεοτοκίον.

Ὡς εὔδιον λιμένα καὶ γαληνόν, τὴν πρεσβείαν σου ἔχοντες πάντοτε, ῥῦσαι ἡμᾶς, ἐκ τῆς τρικυμίας τῶν πονηρῶν, πνευμάτων καὶ ἀπάλλαξον, ἐκ τῆς αἰωνίου καὶ ζοφερᾶς, κολάσεως τοὺς πάντας καὶ ποίησον μετόχους, τοῦ Παραδείσου ἀειπάρθενε.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν.

Ἀγγελικαῖς δυνάμεσι, καὶ Μαρτύρων χορείαις, Ἱερομάρτυς ἔνδοξε, συγχορεύεις τῷ θρόνῳ τῆς ὑπερφώτου Τριάδος, καὶ λαμπραῖς ταῖς ἐκεῖθεν, αὐγαῖς περιχεόμενος, αἴτει φῶς καὶ εἰρήνην, τοῖς εὐσεβῶς, ἐκτελοῦσι μνήμην σου τὴν φωσφόρον, καὶ σὲ φαιδρῶς δοξάζουσιν, Ἄνθιμε Θεοφόρε.

Θεοτοκίον.

Τριάδος Κόρη τέτοκας, ἀπορῥήτως τὸν ἕνα, διπλοῦν τῇ φύσει πέλοντα, καὶ διπλοῦν ἐνεργείᾳ, καὶ ἕνα τῇ ὑποστάσει. Τοῦ-

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΕΠΙΤΡΟΠΗ ΑΝΤΩΝΙΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

τον οὖν ἐκδυσώπει ἀεὶ ὑπὲρ τῶν πίστει σε προσκυνούντων, ἐκ πάσης ἐπιβουλῆς τοῦ ἐχθροῦ λυτρώσασθαι ὅτι πάντες, πρὸς σὲ νῦν καταφεύγομεν, Δέσποινα Θεοτόκε.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή. Ἱστῶμεν στιχ. δ'. καὶ ψάλλομεν Στιχηρ. προσόμοια Ἦχος α'. Τῶν Οὐρανίων Ταγμάτων.

Ἀγαλλιᾶται ἡ κτίσις ἐπὶ τῇ μνήμῃ σου, Ἀνθιμε Θεοφόρε, καὶ σὺν ἀγγέλοις Πάτερ, παρεστὼς παῤῥησίᾳ, τῷ θρόνῳ τοῦ Κυρίου, τοῖς ἐπὶ γῆς, ἑορτάσαι προτρέπεις ἀεί, ἐν ὕμνοις πνευματικῶς, τὴν ἡμέραν τὴν σεβάσμιον.

Τῶν φιλεόρτων τὰ πλήθη, φαιδρὰν πανήγυριν, ἐν ἄσμασι κροτοῦντα, εὐλαβῶς τοῦ Ἀνθίμου, τοῦ θείου ἀριστέως τιμῶντα λαμπρῶς, πρὸς Θεὸν ἀναπέμψατε, δόξαν καὶ αἶνον, τὸν δόντα νίκην αὐτῷ, καὶ μεγάλως θαυμαστώσαντα.

Νικομήδεια ἀγάλλου, σὺν τοῖς οἰκήτορσι, καὶ τέρπου ἐν τῇ μνήμῃ, τοῦ λαμπροῦ σου Ἀνθίμου· τιμῶσα κατὰ χρέος τὴν Ἱεράν, καὶ σεπτὴν αὐτοῦ ἄθλησιν, ἔχεις γὰρ τοῦτον πρὸς Κύριον ὑπὲρ σοῦ, ἐκτενῶς καθικετεύοντα.

Τῶν μαθητῶν τοῦ Κυρίου, σεπτὸς διάδοχος, καὶ τοῦ Εὐαγγελίου κῆρυξ ὁμοῦ καὶ μύστης, ἐγένου Θεοφόρε ὑπὲρ Χριστοῦ, καὶ τὸ αἷμα ἐξέχεας, ὅθεν μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν τελούντων σου τὴν μνήμην πιστῶς.

Χαῖρε καὶ σὺ Βιθυνία, ἐν σοὶ ἐβλάστησε, τὸ θεῖον τοῦτο ἄνθος, Ἀνθιμος ὁ εὐφραίνων, καρδίας τεθλιμμένων, εὐῶδες ὀσμαῖς, τῆς αὐτοῦ Ἱερότητος, καὶ τῶν ἀπείρων θαυμάτων ταῖς δωρεαῖς, ὡς πλουσίως πᾶσι δίδωσι.

Δίδου καὶμοὶ σῷ οἰκέτῃ τὴν εὐλογίαν σου, καὶ σύγγνωθί μοι Πάτερ, εὐλαβῶς εὐφημοῦντι, ἐν ταύτῃ τῇ πανδήμῳ τῶν εὐσεβῶν, πανηγύρει, καὶ ῥῦσαί με, ἐκ τῶν τοῦ βίου κινδύνων καὶ πειρασμῶν, τοῦ ἀλάστορος ἀπάλλαξον.

Δόξα Ἦχος πλαγ. α'.

Σήμερον, ὡς ἔαρ εὐφρόσυνον, ἐπέλαμψεν ἅπασα ἡ τοῦ Χριστοῦ ἐκκλησία, πανηγυρίζουσα φαιδρῶς, κροτοῦσι δῆμοι ἁγίων, καὶ χοροὶ μαρτύρων ἀγάλλονται· πεφοινιγμένῃ γὰρ τῇ στολῇ τῆς Ἱεραρχίας, ἐν τῷ αἵματι τῆς ἀθλήσεως, καὶ δι' αὐτῶν αἰωνίως, τῆς ἀθανάτου δόξης ἔτυχον. Ὦ δόξης οὐρανίου! δι' ἧς ἐμεγαλύνθησαν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· προεξάρχει τῆς χορείας, ὁ ἔνδοξος Ἱεράρχης Ἀνθιμος, τῆς Νικομηδείας τὸ θεόβλαστον ἄνθος, τὸ κρῖνον τὸ εὔοσμον, τὸ εὐωδιάζον πᾶσαν τὴν Βιθυνίαν, τῆς Ἱεραρχίας τὸ καύχημα, ὁ προστάτης τῆς ἐκκλησίας, καὶ ποιμενάρχης τῆς εὐσεβείας· ὡς εὐσεβείας ἐραστὴς ὑπὲρ Χριστοῦ ἐναθλήσας, ὡς ἄνθος εὐῶδες καὶ ὑπέρλαμπρος προσφέρεται τῷ τρισηλίῳ Θεῷ, οὐκ ἐξ ἀνθέων εὐῶδες ἐκ Παραδείσου βλαστάνων, ἀλλ' ἐξ οἰκείων αἱμάτων, ὡς μῦρον εὐῶδες διηνθισμένος· καὶ πρεσβεύει αὐτῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε.

Δοξολογία Μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν, τὰ τυπικὰ καὶ ἐκ τοῦ κανόνος τοῦ ἁγίου, Ὠδὴ γ'. καὶ ς'.

Ὁ Ἀπόστολος. Προκείμενον. Ἦχος βαρύς.

Στ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.

Στ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν.

Ἀλληλούϊα. Ἦχος δ'.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην
Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ζήτει Ἀπριλίου κγ'. (23).

ΕΘΝΙΚΟΝ ΑΝΑΓΝΩΣΤΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓΙΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάρια.

Ἄνθος ἐκ Βιθυνίας φυεὶς τερπνόν, ἄθλοις Μαρτυρίου, εὐωδιάσας νοητῶς, τοὺς πιστοὺς πάντας ῥῦσαι ἐκ κινδύνων, ψυχῶν τε καὶ σωμάτων τρισόλβιε Ἄνθιμε.

Τὸν ἐν Ἱερεῦσιν Ἱερουργόν, μύστην τοῦ δεσπότου, καὶ ἐν μάρτυσι θαυμαστόν, φύλαττε εὐχαῖς σου πάντας τοὺς σὲ τιμῶντας, καὶ ῥῦσαι αἰωνίως, παντοίας καταδίκης, Ἄνθιμε ἔνδοξε.

ΤΗΙ 5Η ΣΕΠΤΕΜΒΡΙΟΥ

ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΠΡΟΦΗΤΟΥ

ΖΑΧΑΡΙΟΥ

ΠΑΤΡΟΣ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ

Εἰς τὸν ὄρθρον.

Καθίσματα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ζαχαρίας ὁ σεπτός, ὁ πατὴρ τοῦ Προδρόμου, τὸν νοῦν φωτοειδῆ, κεκτημένος θεσπίζει, τὰ μέλλοντα πνεύματι, παναγίῳ φθεγγόμενος, τοῦτον σήμερον, εὐσεβοφρόνως τιμῶντες, ἐκτελέσωμεν, τὴν ἱερὰν αὐτοῦ μνήμην, καρδίας εὐθύτησι.

Δόξα τὸ αὐτό· καὶ νῦν Θεοτοκίον.

Ἀνύμφευτε ἁγνή, Θεοτόκε Μαρία, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας· κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις σου.

Μετὰ τὴν 6΄ στιχ. καθισμ. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Προφητείας χάρισμα, πλουτῶν Ζαχαρία, τοῦ Χριστοῦ κατήγγειλας τὴν παρουσίαν τοῦ Θεοῦ, καὶ τὸ τοῦ κόσμου σωτήριον, οὗ τῇ ἐλλάμψει, ὁ κόσμος πεφώτισται.

Δόξα τὸ αὐτό· καὶ νῦν Θεοτοκίον.

Προστασία ἄμαχε, τῶν ἐν ἀνάγκαις, καὶ πρεσβεία ἑτοιμος, τῶν ἐλπιζόντων ἐπὶ σέ, ἀπὸ κινδύνων με λύτρωσαι, καὶ μὴ παρόψῃ, ἡ πάντων βοήθεια.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΙΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μετὰ τὸν πολυέλαιον. Κάθ. Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Τοῦ Βαραχίου τὸν υἱὸν μακαρίσωμεν, τὸν γὰρ νόμον ψαλμικῶς προεμελέτησε, Ζαχαρίας ὁ δίκαιος νυκτὸς καὶ ἡμέρας, λατρεύων τῷ ἐν ὑψίστοις πάντων Θεῷ, ὡς ἔφη ὁ ἐν Προφήταις μέγας Δαυίδ, ὃς καὶ τέλος δι' αἵματος, σφαγεὶς ἐτύθη ὡς ἀμνός, δεκτὸς εἰς ὁλοκάρπωσιν, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Θεοχαρίτωτε Ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι, καὶ σὺν τοῖς προφήταις, καὶ ἅπασι τοῖς Ἁγίοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους διόρθωσιν, καὶ ἵλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

Οἱ ἀναβαθμοὶ τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἦχου στιχ. μὴ ἅπτεσθε τὸν Χρισ.—Πᾶσα πνοή. Εὐαγγέλιον, ὁ Ν. Δόξα ταῖς τοῦ Σοῦ Προφήτου, καὶ νῦν ταῖς τῆς Θεοτόκου, τὸ ἰδιόμελον ζήτει εἰς τὸν ἑσπερινόν· καὶ τὰ λοιπὰ τοῦ Μηναίου.

Εἰς τοὺς Αἴνους Ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ἱερατεύων ὁ θεῖος Ζαχαρίας, καὶ ἔνδον γενόμενος τοῦ θειοτάτου ναοῦ, καὶ τοῦ λαοῦ τὰ αἰτήματα, προσαναφέρων, τῷ εὐεργέτῃ καὶ πανοικτίρμονι, θειότατον Ἄγγελον, εἶδε βοῶντα αὐτῷ, ἡ προσευχὴ καὶ ἡ δέησις, σοῦ εἰσηκούσθη. Θάρσει πρεσβύτα, καὶ μὴ ἀπίστει μοι· ἕξεις γὰρ παῖδα θεῖον Πρόδρομον, γεννητοῖς γυναικῶν ὑπερέχοντα, Ἡλιοῦ ἐν δυνάμει, τοῦ Χριστοῦ προπορευσόμενον.

Ξένος μοι φαίνῃ τῇ θέᾳ καὶ τῷ τρόπῳ, ξένος καὶ τοῖς ῥήμασι, καὶ τοῖς μηνύμασιν, ὁ Ζαχαρίας ἀντέφησεν, ἐγὼ γὰρ ἦλθον, τὴν σωτηρίαν λαοῦ αἰτήσασθαι, οὐχὶ δὲ κομίσασθαι, παῖδα ὡς σὺ προσφωνεῖς· ἀπ' ἐναντίας εὑρίσκω σέ, τῶν αἰτημάτων, καὶ ὑποπτεύω μὴ ἀληθεύειν σε· πῶς γάρ, ὁ λέγεις, βεβαιότατον, ἀποδειχθῇ; Ἐλισάβετ γάρ, στεῖρά ἐστι, κἀγὼ δέ, ὡς ἐπίστασαι πρεσβύτατος.

Τί ἀπιστεῖς μου τοῖς λόγοις Ζαχαρία, ψευδῆ εὐαγγέλια λέγων κομίζειν με; Θεοῦ Ἀρχάγγελος πέφυκα, ἃ προσετάχθην, ταῦτά σοι λέγω σὺν σοὶ ἱστάμενος· ἐπεὶ δὲ ἠπίστησας καὶ οὐκ ἐπίστευσας, ἔσῃ κωφεύων καὶ ἄλαλος, ἕως ἂν ἴδῃς, ἐμῶν ῥημάτων θείαν ἔκβασιν, ἐπὰν δὲ τέκῃ Ἐλισάβετ σοι, τὴν τοῦ Λόγου φωνὴν μέγαν Πρόδρομον, τρανουμένης τῆς γλώττης, εὐλογήσει τὸν Θεὸν Ἰσραήλ.

Δοξαστικ. Ἦχος πλ. δ΄.

Θυμιῶντι ἐν τῷ ναῷ Ζαχαρίας ὁ δίκαιος, ἐπέστη πρὸς αὐτὸν ἐξ οὐρανοῦ, ὁ Ἀρχάγγελος λέγων· ὅτι ἐν γήρᾳ σου ἕξεις καρπὸν εὐκλεῆ· καὶ στείρωσις ἡ πρὶν τῆς Ἐλισάβετ νυνί, εὐθὺς λυθήσεται καὶ γονεῖς ἀκαρπία, συλλαβοῦσα τέξεται κήρυκα τὸν λύχνον τοῦ θείου φωτός, τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Δοξολογία Μ. καὶ τὰ λοιπὰ τοῦ Μηναίου.

ΠΑΝΑΣΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΗι 2ᾳ ΟΚΤΩΒΡΙΟΥ

ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΑΒΡΑ

Ἐν τῷ μικρῷ Ἑσπερινῷ.

Ἦχος πλάγ. α΄.

[Χαίροις ἀσκητικῶν.]

Χαίροις ὁ Στρατιώτης Χριστοῦ, ὁ τροπωσάμενος ἐχθροῦ τὴν παράταξιν, τῷ ὅπλῳ τῆς εὐσεβείας, ὁ τῶν πιστῶν στηριγμός, ὁ πολλαῖς βασάνοις ὠνησάμενος, Θεοῦ τὴν οὐράνιον, βασιλείαν Θεόδωρε, ἐν ᾗ χορεύων, καὶ μεθέξει θεούμενος, καὶ λαμπόμενος, καθαραῖς διαδόσεσι, μέμνησο τῶν τιμώντων σου, τὴν μνήμην τὴν ἔνδοξον, καὶ προσκυνούντων ἐν πίστει τὴν πανσεβάσμιον κάραν Σου, ἀφ' ἧς ἀναβλύζει, τοῖς αἰτοῦσιν εὐρωστίαν καὶ μέγα ἔλεος.

Χαίροις ἡ ἱερὰ κεφαλή, τῶν Ἀθλοφόρων τὸ σεπτὸν ἀκροθύνιον, ὁ Κόσμος τῆς Ἐκκλησίας, ὁ καθαιρέτης ἐχθροῦ, δωρεῶν ἐνθέων ὁ ἐπώνυμος, λαμπτὴρ τὴν ὑφήλιον, καταγαύζων τοῖς θαύμασι· στύλος ὁ μέγας, διαμείνας ἀσάλευτος ταῖς προσρήξεσι, τῶν ἀπείρων κολάσεων, λόγχῃ τῆς καρτερίας σου, ὁ κτείνας τὸν δράκοντα, ὁ ἀριστεύσας μεγάλως, ὡς στρατιώτης ἀήττητος, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Ὅπλῳ τοῦ ζωηφόρου Σταυροῦ, τὴν τῶν εἰδώλων συντριβὴν ἐργασάμενος, μαστίγων ὑπέστης πεῖραν, ἐπὶ χιόνος ταθείς, σπαραγμοὺς παμμάκαρ ἐκαρτέρησας, ὑφ' ὧν συντριβόμενος, καὶ λαμπάσι φλεγόμενος, κάραν ἐγδάρης, τιτρωσκόμενος βέλεσι, καὶ τὰ ὄμματα, ὑπ' αὐτῶν ἐκτυφλούμενος, ὅθεν σε μακαρίζο-

μεν, καλῶς ἐναθλήσαντα, καὶ οὐρανίων στεφάνων, ἐπιτυχόντα Θεόδωρε· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα ἦχος πλάγ. α΄.

Σήμερον ἀνέτειλεν ὑπὲρ τὸν Ἑωσφόρον, ἡ σεβάσμιος μνήμη τοῦ Ἀθλοφόρου Χριστοῦ, τῶν πιστῶν τὰς καρδίας ἀοράτως φωτίζουσα, καὶ τὰ νέφη τῶν ψυχῶν ἀποδιώκουσα, τῇ ἐνεργείᾳ καὶ χάριτι τοῦ Πνεύματος. Πρὸς ὃν φιλομάρτυρες ἀνακράξωμεν. Χαίροις ὁ τοῖς πιστοῖς ἀναδειχθεὶς Θεοδώρητος χάρις, καὶ τῶν θαυμάτων τὰ πλήθη ἐφαπλῶν, τοῖς εἰς σὲ προστρέχουσι, Θεόδωρε μακάριε· Χριστὸν ἀπαύστως πρεσβεύων μὴ ἐλλίπῃς τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν πάνσεπτον μνήμην Σου.

Τὰ ἀπόστιχα ζήτει εἰς τὴν ἑορτήν.

Δόξα. Ἦχος πλάγ. β΄.

Ὡς ὅπλον ἀπροσμάχητον καὶ στερρὸν τὸ μέγα Χριστοῦ, τὸ τίμιον ὄνομα, ἐνθέως περιθέμενος τὸν ἐχθρὸν κατῄσχυνας, καὶ χοροῖς μαρτύρων ἠρίθμησαι· ἀλλὰ μάρτυς Θεόδωρε, μὴ παύσῃ πρεσβεύων, ὑπὲρ πάντων ἡμῶν.

Καὶ νῦν.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος. Τρισάγιον· καὶ ἀπόλυσις.

Ἐν τῇ Παραμονῇ οἱ βουλόμενοι ψάλλειν τὸν ἐπιτάφιον τοῦ ἁγίου.

Ὥρα Γ΄. τῆς ἡμέρας.

Εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα τῷ, Βασιλεῦ Οὐράνιε, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, Κύριε ἐλέησον ιβ΄. Δεῦτε προσκυνήσωμεν Γ΄. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, Θεὸς Κύριος καὶ ἐπέφανεν, τὸ ἀπολυτίκιον τοῦ Ἁγίου, Τὸ Θεοτοκίον. Μετὰ τὴν αἴτησιν ψάλλεται ἡ Λιτή, καὶ μετὰ τὴν Λιτήν, ἄραντες τὸ Εὐαγγέλιον, τὸν τίμιον Σταυρόν, καὶ τὴν εἰκόνα τοῦ ἁγίου, καὶ ἐξερχόμενοι ἐκ τῆς βορείου θύρας τοῦ Ἱεροῦ μετὰ λαμπάδων καὶ θυμιατῶν ψάλλοντες τὸ Ἀσματικόν, ἅγιος ὁ Θεός· Ἐρχόμεθα εἰς

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΑΓΙΩΤΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

τὸ μέσον τῆς ἐκκλησίας θέτοντες εἰς τὸ τετραπόδιον τὸ εὐαγγέλιον, τὸν τίμιον Σταυρὸν καὶ τὴν εἰκόνα. Θυμιῶντος δὲ τοῦ προέδρου κύκλῳ, ψάλλομεν τό, ἡ ζωὴ ἐν Τάφῳ.

Στάσις Α΄.

Ὁ Εἱρμός. Εἰς ἦχον πλάγιον α΄.

Ἡ ζωὴ ἐν τάφῳ, κατετέθης Χριστέ, καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο, συγκατάβασιν δοξάζουσαι τὴν σήν.

Δές.

Στιχ. Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

Μεγαλύνομέν σε, ζωοδότα Χριστέ, τὸν σὸν δοῦλον ἐν Ἄθλοις δοξάσαντα, κατ' ἐχθρῶν τῶν αἰσθητῶν καὶ νοητῶν.

Στιχ. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

Τῶν πιστῶν οἱ δῆμοι, συνδραμῶντες εἰς ἕν, τῷ Θεοδώρῳ ἰσχὺν καταπέμψαντι, δόξαν αἶνον, ἀναπέμψωμεν Χριστῷ.

Στιχ. Σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα.

Νοερῶν συντρέχει, στρατειῶν ἡ πληθύς, ἀποστολοις σὺν ἁγίοις κηδεῦσαί σε, τὸν Θεόδωρον Ἀθλητὴν τοῦ Θεοῦ.

Στιχ. Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ μὲ ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου

Ἔχαιρον χορεῖαι, οὐρανίων νοῶν, ἀπὸ γῆς φερομένου δεχόμεναι, εἰς οὐράνια σκηνώματα Ἀθλητά.

Στιχ. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἀσωμάτων στίφη, οὐρανίων χορῶν, ἡ Χαλδία εὐλαβῶς συνευφραίνεται, Ἀθλητὰ Θεόδωρε ἐπὶ Σέ.

Στιχ. Τὰ δικαιώματά σου φυλάξω, μὴ μὲ ἐγκαταλίπῃς ἕως σφόδρα.

Βασιλεῖς καὶ πόλου καὶ τῆς γῆς ἀληθῶς, εἰ καὶ τάφῳ σμικροτάτῳ συγκέκλεισαι, ἀλλ' ἡμεῖς πρέσβυν σε ἔχομεν πρὸς Θεόν.

Στιχ. Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἔδει γάρ σε ὄντως, ἀνελθεῖν εἰς μονάς, οὐρανίους καὶ σκηνώματα Θεόδωρε, ὡς γενναῖος Ἀθλητὴς τοῦ Θεοῦ.

Στιχ. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

Ἐξωδίοις ὕμνοις, καὶ ἡμεῖς εὐλαβῶς, τὴν ταφὴν τοῦ Θεοδώρου ὑμνήσωμεν, σὺν ἀνδράσι θεολήπτοις ψαλμικῶς.

Στιχ. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

Θρήνοις ἐκοσμοῦντο, τῶν Ἁγίων τὸ πρίν, κοπετοῖς τε καὶ δακρύοις οἱ θάνατοι, νῦν δὲ χαίροντες σκιρτῶμεν ἐπ' αὐτοῖς.

Στιχ. Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ.

Τῶν θανόντων Σῶτερ, ὑπὲρ σοῦ ἀθλητῶν, ἀληθῶς ὕπνος ὑπάρχει ὁ θάνατος, εὐδημία τε πρὸς σὲ λίαν τερπνή.

Στιχ. Περίελε ἀπ' ἐμοῦ ὄνειδος, καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

Ἐξοδίους ὕμνους, εὐφροσύνῃ ψυχῆς, καὶ καρδίας σοι ἐπάδομεν Θεόδωρε, καὶ δοξάζομεν τοὺς ἄθλους σου πιστῶς.

Στιχ. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ' ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

Ἔστης πρὸ βημάτων, ἀσεβῶν ἀνδρικῶς, τῷ σταυρῷ τῷ τοῦ Κυρίου φραξάμενος Θεόδωρε, καὶ ἐκήρυξας Χριστόν.

Στιχ. Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστί, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

Ἔστης νῦν τοῦ πόθου, τῶν Χριστοῦ κοινωνός, παθημάτων χρηματίσας πανεύφημε, τέρπου Μάκαρ καὶ εὐφραίνου σὺν αὐτῷ.

Στιχ. Ἐκολλήθην τοῖς μαρτυρίοις σου Κύριε μὴ μὲ καταισχύνῃς.

Ἐν τοῖς πανολβίοις νῦν θαλάμοις σκηνῶν, οὐρανίου βασιλείας Θεόδωρε, συνευφραίνου τῶν ἁγίων τοῖς χοροῖς.

Στιχ. Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν.

Ἀθλητῶν οἱ δῆμοι, καὶ Ἁγίων πληθύς, σὲ προσθήκην Θεόδωρε ἐδέξαντο, καὶ μεσίτην πρὸς Χριστὸν οἱ ἐπὶ γῆς.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΥΚΛΟΦΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Στιχ. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ἠσχυνόμην.

Τῆς προσκαίρου ταύτης, λῆξιν ἔσχες ζωῆς, ἀλλὰ τῆς ἀλήκτου τετύχηκας, καὶ νῦν ζῇς ἐν τῷ Χριστῷ διὰ παντός.

Στιχ. Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

Τοὺς διακονοῦντας, τῇ κηδείᾳ τῇ σῇ, ταῖς εὐχαῖς σου πρὸς Θεὸν Ἅγιε ἔνδοξε, σκέπε φρούρει ἐκ παντοίων πειρασμῶν.

Στιχ. Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

Ὡς ὡραῖον ἄνθος καὶ εὐῶδες λαμπρόν, πᾶσαν τὴν ἐῴαν εὐωδίασας, καὶ ἐνήθλησας κατ' ἐχθρῶν ὑπὲρ Χριστοῦ.

Στιχ. Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ τὰ δικαιώματά σου δίδαξόν με.

Δεῦτε πιστοὶ τῆς Ἄτρας, καὶ ἡμεῖς εὐλαβῶς, τοῦ Θεοδώρου τὴν κηδείαν ἄσωμεν, ἐπανάγει ἀπὸ γῆς πρὸς οὐρανόν.

Στιχ. Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου, ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Εἰ καὶ γῆ καλύπτει, μάκαρ σῶμα τὸ σόν, ἀλλὰ τὸ ἀνέσπερον φῶς ἔχει τὸ πνεῦμά σου, ἐν σκηναῖς τοῦ οὐρανοῦ.

Δόξα.

Πάτερ Λόγε Πνεῦμα, ἐν μονάδι Τριὰς οἰκτειρον ἡμᾶς δεομένους σου, σὺν ταῖς εὐχαῖς τοῦ Θεοδώρου ἀθλητοῦ.

Καὶ νῦν.

Μακαρίζομέν σε, Θεοτόκε ἁγνή, ἣν ὁ μάρτυς ἐπαθλῶν ἀνεκήρυξεν ὡς λοχεύτριαν Θεοῦ Παναληθῆ.

Αἴτησις καὶ ἐκφώνησις. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνου δόξης τῶν Χερουβὶμ ἐπαναπαυόμενος καὶ σοὶ τὴν δόξαν . . .

Στάσις Β'.

Ὁ Εἱρμός.

Ἄξιόν ἐστιν, μεγαλύνειν σὲ τὸν ζωοδότην, τὸν ἐν τῷ σταυρῷ τὰς χεῖρας ἐκτείναντα, καὶ συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

Δές.

Στιχ. Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Ἄξιόν ἐστι, μεγαλύνειν σε ᾠδαῖς καὶ ὕμνοις, τὸν ἐν Ἀθλοφόροις θεῖον Θεόδωρον, συνθανόντα καὶ συζήσαντα Χριστῷ.

Στιχ. Οἱ φοβούμενοί σε ὄψονταί με, καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἴσχυνας ἐχθροὺς τὸ λαμπρότατον Μαρτύρων εὔχος, καὶ τῆς νίκης ἥγειρας τρόπαια, ἐναθλήσας κατ' αὐτῶν ὑπὲρ Χριστοῦ.

Στιχ. Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

Θαῦμα ἀληθῶς, πολυθρύλλητον Ἀγγέλων πέλεις, καὶ τραυματισμὸς εἶ τῶν δαιμόνων θρῆνος, ὦ πολύαθλε Θεόδωρε Γαβρᾶ.

Στιχ. Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με, κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

Ἔνθα οἱ χοροί, τῶν Ἁγίων τε καὶ τῶν Ἀγγέλων, ἵσταντο κυκλοῦντες ἐν ἄσμασι, παριστάμεθα γαρ Θεοδωρε καὶ ἡμεῖς.

Στιχ. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν.

Ἦρθης ἀφ' ἡμῶν, ὦ Θεόδωρε τροπαιοφόρε, ἀλλὰ σοῦ ἡ εὐλογία μεμένηκε, καὶ ἡ χάρις ἐφ' ἡμᾶς τοὺς εὐσεβεῖς.

Στιχ. Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ, ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

Ὀμβρῳ οἰκτιρμῶν, τῶν σῶν Θεόδωρε Ἀθλοφόρε, τῆς ψυχῆς ἡμῶν τὴν αὔλακα πότισον, χερσωθεῖσαν ταῖς ἀκάνθαις τῶν παθῶν.

Στιχ. Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

Δόξα τοῖς πιστοῖς, καταισχύνη τε καὶ ἀτιμία, τοῖς ἀπίστοις γέγονας Θεόδωρε, ὅθεν καὶ ἡμεῖς σὲ δοξάζομεν πιστῶς.

Στιχ. Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου Κύριε.

Ὕπνωσας νυνί, ὕπνος γὰρ ὁ θάνατος τῶν ἁγίων, ἀλλὰ τὸ σὸν ὄμμα ἔχων ἀνύστακτον ἀθλητά, περιέπεις σοὺς ὑμνητάς.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Στιχ. Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Μάρτυς τοῦ Χριστοῦ, Θεόδωρε Γαβρᾶ μὴ παύσῃς, ὑπὲρ τῶν σῶν δούλων δεόμενος, τῶν τὴν ἄθλησιν τιμώντων σου πιστῶς.

Στιχ. Σὸς εἰμὶ ἐγὼ σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Ἄνωθεν πληθύς, τῶν μαρτύρων συνδραμοῦσα πᾶσα δόξῃ καὶ τιμῇ παρελάβατε, τὸν γενναῖον ἀριστέα τοῦ Χριστοῦ.

Στιχ. Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με τὰ μαρτύριά σου συνῆκα.

Φοῖνιξ ἀθλητά, ὡς ἐν πνεύματι Δαυὶδ προέφη, ὄντως ἀνεδείχθης ὑψίκομος, παραδείσου καὶ φυτὸν ἀειθαλές.

Στιχ. Ὑπὲρ πάντας τοὺς διδάσκοντας με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστί.

Ἅπαντες τὴν σήν, γεναιότητα τροπαιοφόρε Μάρτυς, ἔφριξαν ἡνίκα ἀγόμενον, ἐθεώρουν πρὸς ἀνόμους δικαστάς.

Στιχ. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Ἄνθος ἀληθῶς, σὲ ἐβλάστησεν ὄντως ἡ Ἄτρα, ὡς ἀρώματα αἰτοῦνται Θεόδωρε, τὰ ἰάματά σου οἱ εὐσεβεῖς.

Στιχ. Δοῦλός σου εἰμὶ ἐγώ, συνέτισόν με καὶ γνώσομαι τὰ μαρτύριά σου.

Χαίρουσι βροντῶν τὰ συστήματα καὶ τῶν Ἀγγέλων, ἐν τῇ σῇ ἀθλήσει Θεόδωρε, καὶ δοξάζουσι τὴν δύναμιν τοῦ Χριστοῦ.

Στιχ. Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Ὄρθρος φαεινός, ἐχρημάτισας τῆς ἑῴας Μάκαρ, καὶ τῆς νίκης τὰ τρόπαια ἤγειρας, ἐναθλήσας κατ' ἐχθρῶν ὑπὲρ Χριστοῦ.

Στιχ. Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Χαίρει οὐρανός, τὸ σὸν πνεῦμα νῦν εἰσδεδεγμένος, ἀλλὰ καὶ ἡ γῆ συνευφραίνεται, προσλαβοῦσα γὰρ τὸ σῶμά σου τὸ σεπτόν.

Στιχ. Οἱ ὀφθαλμοί μου ἐξέλειπον εἰς τὸ σωτήριόν σου καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

Οἶκος ὁ παρών, ἡ γὰρ ἁγία σου κάρα κεῖται, καὶ ψυχῆς καὶ σώματος Θεόδωρε, ἰατρεῖον ἀσφαλές ἐστιν ἡμῖν.

Στιχ. Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους.

Ῥῦσαι σαῖς εὐχαῖς, τοὺς προστρέχοντας τῇ σῇ κηδείᾳ καὶ παρὰ τοῦ θείου λειψάνου σου, αἰτουμένους τὰ ἰάματα πιστῶς.

Στιχ. Τὸ στόμα μου ἤνοιξα. καὶ εἵλκυσα πνεῦμα ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

Αἴτησαι ἡμῖν, ἐκ Θεοῦ τὴν ἄφεσιν πταισμάτων, τοῖς μετ' εὐλαβείας Μάκαρ κηδεύουσι, σοῦ τὸ σῶμα καὶ καλύπτουσιν ἐν γῇ.

Δόξα Πατρί.

Ἄναρχε Θεέ, Πάτερ Λόγε καὶ τὸ θεῖον Πνεῦμα, θείαις ἱκεσίαις τοῦ Θεοδώρου σου, σῶσον πάντας τοὺς πιστεύοντας εἰς σέ.

Καὶ νῦν.

Ἄξιον ἐστί, μεγαλύνειν σε τὴν Θεοτόκον, τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ.

Αἴτησις καὶ ἐκφώνησις. Ὅτι σὸν τὸ κράτος. (1)

Στάσις Γ'.

Ὁ Εἱρμός.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ σου, προσφέρουσι Χριστέ μου.

Δίς.

Στιχ. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Αἱ γενεαὶ πᾶσαι, σὲ μακαριοῦσιν, Θεόδωρε τοῦ Κυρίου.

Στιχ. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Ἐνήθλησας γενναίως, καὶ εἴληφας ἀξίως, παρὰ Χριστοῦ τὸ στέφος.

---

(1) ΣΗΜΕΙΩΣΙΣ. Ὅτι ἡ ἀνωτέρα ἐκφώνησις «Ὅτι Σὸν τὸ κρατος» τυγχάνει, κατὰ τοὺς Πατέρας τῆς Ἐκκλησίας, τῶν τριῶν Μάγων τῶν ἐλθόντων ἐν τῇ πόλει Βηθλεέμ, προσκυνῆσαι τὴν τοῦ Χριστοῦ ἁγίαν Γέννησιν.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ
ΕΥΓΕΝΙΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΠΙΤΡΟΠΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Στιχ. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Δεῦρο πᾶσα κτίσις, ὕμνους ἐξοδίους, προσφέρομεν τῷ Θεοδώρῳ.

Στιχ. Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλον σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Θεόδωρε τρισμάκαρ, οἱ ἄνδρες τῶν αἱμάτων, οἱ τύραννοι ἀπολοῦνται.

Στιχ. Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ' ἐφύλαξα τὸν νόμον σου.

Ἠγώνισαι νομίμως, καὶ ἤνυσας τὸν δρόμον, τοῦ θείου μαρτυρίου.

Στιχ. Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου.

Πάντες οἱ λαοί σε, Θεόδωρε γενναῖε, εὐλαβῶς προσκυνοῦσιν.

Στιχ. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα.

Τετήρηκας τὴν πίστιν, ἐδόξασας τὸν κτίστην, τὸν σὸν τροπαιοφόρε.

Στιχ. Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

Μόνος σὺ προστάτης, πενήτων ὀρφανῶν τε, καὶ τῶν χηρῶν ὑπάρχεις.

Στιχ. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα καὶ ὁ δοῦλος σου ἠγάπησεν αὐτό.

Τίς ἐπαριθμήσει; τὰς σὰς εὐεργεσίας, ἃς πᾶσιν ἐπινέμεις.

Στιχ. Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Ἀπόκειταί σοι ἤδη, ὁ τῆς δικαιοσύνης, στέφανος ἀθλοφόρε.

Στιχ. Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα. καὶ ὁ νόμος σου ἀλήθεια.

Πάντες ἐξαιτοῦνται, τὴν ἀντίληψίν σου, Θεόδωρε καὶ τὴν σκέπην σου.

Στιχ. Θλίψεις καὶ ἀνάγκαι εὗρωσάν με, αἱ ἐντολαί σου μελέτη μου.

Τάξεις τῶν Ἀγγέλων, καὶ ἀνθρώπων δῆμοι τοὺς σοὺς κροτοῦσιν ἄθλους.

Στιχ. Δικαιοσύνη τὰ μαρτύρια σου εἰς τὸν αἰῶνα συνέτισόν με, καὶ ζήσομαι.

Θεόδωρε τρισμάκαρ, ἡ κάρα σου πηγάζει, ἀεὶ ἡμῖν ἰαμάτων.

Στιχ. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου ἐπάκουσόν μου Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω.

Καὶ ὄντως Ἀθλοφόρε, ἡ Ἄτρα σὲ δοξάζει, καὶ πάντες σὲ ὑμνοῦσιν.

Στιχ. Ἐκέκραξά σοι, σῶσόν με καὶ φυλάξω τὰ μαρτύριά σου.

Σήμερον ἀνοιγέντος, τοῦ οὐρανοῦ ἐν δόξῃ εἰσέρχῃ Ἀθλοφόρε.

Στιχ. Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου.

Μαρτύρων θεῖοι δῆμοι, σοὶ προϋπαντοῦσιν ὑπὲρ Χριστοῦ θανόντι.

Στιχ. Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

Ἀπίεις Ἀθλοφόρε, ἔνθα προσκυνεῖται, Πατὴρ Υἱὸς καὶ Πνεῦμα.

Στιχ. Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Ἀγάλλου εἰς αἰῶνας, σὺν τοῖς χοροῖς Ἀγγέλων, Μάκαρ Χριστοῦ ὁπλῖτα.

Στιχ. Οἱ οἰκτιρμοί σου πολλοὶ Κύριε κατὰ τὸ κρίμα σου ζῆσόν με.

Πάντες ἐξαιτοῦμεν, Θεόδωρε προστάτα ἔσο, ἀεὶ τῆς Χαλδείας.

Στιχ. Πολλοὶ οἱ ἐκδιώκοντές με, καὶ θλίβοντές με ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

Μεσίτης τε καὶ πρέσβυς, πρὸς τὸν Θεὸν τῶν ὅλων, γενοῦ τοῖς σὲ τιμῶσιν.

Στιχ. Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

Περίσωζε ἐκ πάντων, τῶν ἐναντίων Μάκαρ, τὴν σὲ τιμῶσαν πόλιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Στιχ. Ἐφύλαξα τὰς ἐντολάς σου, καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε.

Τῶν καταξιωθέντων, ἐν γῇ σοὶ λειτουργῆσαι Ἅγιε μὴ ἐπιλάθου.

Στιχ. Ἐπεπόθησα τὸ σωτήριον σου, Κύριε καὶ ὁ νόμος σου μελέτη μου ἐστί.

Ἱκέτευε τὸν κτίστην, σὺν τοῖς Ἀγγέλοις Μάκαρ, καὶ πᾶσι τοῖς ἁγίοις.

Στιχ. Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ὅπως καταξιώσῃ, χαρᾶς ἀνεκλαλήτου, τοὺς ὀρθοδόξους πάντας.

Δόξα.

Ὦ Θεὲ τῶν ὅλων, ὁ πρύτανις εἰρήνης, εἰρήνευσον τὸν κόσμον.

Καὶ νῦν.

Παρθένε Θεοτόκε, πρεσβεύουσα μὴ παύσῃ ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Εἶτα τὰ Εὐλογητάρια.

Εὐλογητὸς εἶ Κύριε δίδαξόν με.

Τῶν ἀγγέλων ὁ δῆμος καὶ Ἁγίων ἁπάντων, οἱ χοροὶ Θεόδωρε νῦν ἐν Οὐρανοῖς, ψυχήν σου τὴν Ἁγίαν κυκλοῦντες, χαίρουσιν ὁμοῦ, καὶ Χριστὸν δοξάζουσι τὸν τὴν ἰσχύν σου δόντα καὶ στεφανώσαντα.

Εὐλογητὸς εἶ Κύριε δίδαξόν με.

Ἀντὶ μύρων, καὶ ἡμεῖς, μετὰ πόθου ὕμνους ᾄδομέν σοι Θεόδωρε, καὶ τὴν πάνσεπτον Κάραν σου πιστῶς προσκυνοῦμεν· δέξαι οὖν ἡμῶν τὸν πόθον τὸν ἔνθεον, καὶ σῶσον πάντας ἡμᾶς ταῖς πρεσβείαις σου.

Εὐλογητὸς εἶ Κύριε δίδαξόν με.

Λίαν λαμπρῶς, τὸν Χριστὸν ἐκήρυξας Θεόδωρε, ὡς Υἱὸν Θεοῦ καὶ Θεὸν Λόγον, δικαστῶν ἐνώπιον ἀθέων, καὶ σφαγιασθείς, εἴληφας μακάριε, τὴν ἀγήρω ζωὴν τὴν διαιωνίζουσαν.

Εὐλογητὸς εἶ Κύριε δίδαξόν με.

Μετὰ δέους βοῶμεν, καὶ ὕμνους ἐξοδίους προσκομίζομέν σου, πάρεσο οὖν ἀοράτως Ἅγιε, καὶ βράβευσον τοὺς σοὺς ὑμνητὰς τοὺς μετὰ πίστεως λειτουργοῦντάς σοι, καὶ δώρησε τὰς αἰτήσεις μας.

Δόξα Πατρί.

Προσκυνοῦμεν, Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα, ὑπὲρ ἧς ἠγωνίσω ἀνδρικῶς Θεόδωρε, τὴν σὲ στεφανώσασαν, ἔνδοξε, τῆς ἀφθαρσίας στέμματι.

Καὶ νῦν.

Ζωοδότην, τεκοῦσαν καὶ Σωτῆρα Παρθένε, εἰς βροτῶν σωτηρίαν, παῤῥησίᾳ κηρήξας ὁ κλεινὸς Θεόδωρος, καὶ παναληθῆ σε Θεοῦ γεννήτριαν, θάνατον ἀθανασίας ἤνεγκε πρόξενον.

Εἶτα αἴτησις καὶ ἐκφώνησις. Ὅτι πρέπει σοι ὑμνεῖσθαι τὸ ὄνομα.

Καὶ τὸ Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτῆρ.

Εὐφραίνεται λαμπρῶς, καὶ σκιρτᾷ γηθοσύνως, πληθὺς τῶν εὐσεβῶν, συγκροτοῦσα χορείαν· συγχαίρει καὶ ἅπασα, τερπομένη ἐν πνεύματι, ἡ μητρόπολις ἡ τῆς Χαλδείας τιμῶσα, τὴν σὴν ἄθλησιν, καὶ τῶν μαρτύρων τὸ κλέος Θεόδωρε πανεύφημε.

Δόξα τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Εἰς τοὺς αἴνους. Πᾶσα πνοή. Ζήτει εἰς τὸν Μικρὸν Ἑσπερινόν. Δοξολογία Μεγάλη. Ὁ Ἀπόστολος ἁγ. Δημητρίου καὶ Εὐαγγέλιον κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, ταῦτα ἐντέλλομαι ὑμῖν.

Ἐκτενὴς. Καὶ Ἀπόλυσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΦΥΛΗ ΕΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΗ῀ 2ᾳ ΟΚΤΩΒΡΙΟΥ

ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΑΒΡΑ

Ἑσπέρας, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στιχηρά. Ἦχος Α΄. προσόμοια.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων ἀδύτων ἔνδον γενόμενος, τῶν ἐπὶ γῆς ἀνθρώπων, μεμνημένων σου πίστει, φύλαξ καὶ προστάτης ἔσο ἀεί, καὶ μεσίτης πρὸς Κύριον, ὡς παῤῥησίαν μαρτύρων πεπλουτηκώς, ἁγιώτατε Θεόδωρε.

Τοῖς οὐρανίοις ἀδύτοις νῦν προσεπέλασας, τῶν ἐπὶ γῆς ἁπάντων, γεγονὼς μετανάστης, πόθῳ τοῦ μαρτυρίου κράζων ἀεί· τὴν ὁδόν μου κατεύθυνον, κατὰ τὰ θεῖά σου λόγια βασιλεῦ, τῶν αἰώνων ἐπουράνιε.

Ταῖς οὐρανίαις χορίαις συναριθμούμενος, καὶ στρατιαῖς ταῖς ἄνω, Θεόδωρε πολύτλα, τῆς σῆς δὲ συγγενείας κόσμου παντός, καὶ ἡμῶν τῶν ὑμνούντων σε, μὴ διαλίπῃς μνησθῆναι διὰ παντός, τῇ Τριάδι παριστάμενος.

Χαῖρε καὶ σὺ χώρα Ἄτρα, ἐν σοὶ ἐβλάστησε, τὸ θεῖον τοῦτο ἄνθος Θεόδωρος εὐφραίνων, καρδίας τεθλιμμένων, εὐῶδες ὀσμαῖς, τῆς αὐτοῦ γενναιότητος, καὶ τῶν ἀπείρων θαυμάτων ταῖς δωρεαῖς, ἃς πλουσίως πᾶσι δίδωσι.

Δόξα. Ἦχος β΄.

Θείων δωρεῶν ἐπώνυμόν σε γεραίρω, Ἅγιε, διὸ μὲν ἡ Ἄτρα σὲ ἐβλάστησεν ὡς ῥόδον εὔοσμον, αἱ ἀρεταί σου ὡς ἄνθη τίμια εὐωδίασαν πᾶσαν τὴν ἐῴαν· ὄντως γὰρ τῶν πενήτων ὑπῆρχες

τροφεύς, τῶν αἰχμαλώτων ῥύστης, ἠνδραγάθησας τὸ πρὶν ἐν πολέμοις τοὺς ἐχθροὺς τροπούμενος, τῶν βαρβάρων τὴν ἀθείαν ἤλεγξας, τούτων τὸ θράσος κατέβαλες· καὶ ἐν σταδίῳ τοῦ μαρτυρίου ἀνὴρ ὤφθης σιδηροῦς, στύλος ἀῤῥαγὴς καὶ ἀκλόνητος· ἡ δὲ Θεοδοσιούπολις ἀγαλλομένη, τὸ αἷμά σου ἐδέξατο ὡς πολύτιμον δῶρον· σὺ γὰρ τοῦ φωτὸς τοῦ θείου ἄδυτος φωστὴρ ἀναδειχθείς, τὴν σύμπασαν κτίσιν κατέλαμψας· καὶ πυρὸς ἀκμαιότερος φανείς, τὴν φλόγα κατέσβεσας, καὶ τοῦ δολίου δράκοντος τὴν κάραν συνέτριψας· διὸ ἐν τοῖς ἄθλοις σου, ὁ Χριστὸς ἐστεφάνωσε τὴν θείαν κάραν σου, Μεγαλομάρτυς Γραβᾶ Θεόδωρε· ὡς ἔχων παῤῥησίαν πρὸς Θεόν, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Θεοτοκίον. Εἴσοδος.

Φῶς ἱλαρόν. Εἶτα τὰ ἀναγνώσματα, προφητ. Ἡσαΐου τὸ ἀνάγνωσμα (1).

Εἰς τὴν Λιτὴν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄.

Ἀγάλλου ἐν Κυρίῳ Ἄτρα τῆς Χαλδείας, ἀπόδυσε τὸν πενθήρη σάκκον, καὶ χιτῶνα εὐφροσύνης περίζωσε· σήμερον ὡς ἔαρ νοητόν, τὸν πολυοῦχον πλουτεῖς τροπαιοφόρον Θεόδωρον, τὸν λαμπρὸν ἀθλοφόρον καὶ μάρτυρα, ἀντίπαλον τῆς ἀσεβείας, καὶ τῆς εὐσεβείας ὑπέρμαχον, ἡγεμόνα καὶ προστάτην τῆς ἑῴας· ἰατρὸν ἀδάπανον, καὶ τὰ δυσώδη πάθη ἀποδιώκοντα ψυχῶν τε καὶ σωμάτων, ὄντως ὡς ῥόδον εὐῶδες μυστικῶς ἐξήνθησεν, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἡμῶν· καὶ ἡμᾶς εὐωδιάζει, Κυρίου εὐωδία ἐγένετο· καὶ πρεσβεύει αὐτῷ ἐλεηθῆναι τὰς ψυχάς, τῶν ἐν πίστει τελούντων αὐτοῦ τὴν πανήγυριν.

Ἦχος α΄.

Εὐφραίνεσθε ἐν Κυρίῳ πόλεις τῆς Χαλδείας καὶ σκιρτήσατε ἀγαλλόμεναι, τὴν κάραν τοῦ Μεγαλομάρτυρος Θεοδώρου, ἐν

(1) Τό τε Ἀναγνώσματα· Εὐαγγέλιον τοῦ Ὄρθρου καὶ τῆς λειτουργίας. Ὅρα εἰς τὴν ἑορτὴν τοῦ ἁγίου Δημητρίου· Ὀκτωβρίου 26.

ΕΜΜΑΝΟΥΗΛ ΠΑΠΑΣΤΡΑΤΟΥ ΕΚΔΟΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΡΧΕΙΟΝ ΕΜΜΑΝΟΥΗΛ ΠΑΠΑΣΤΡΑΤΟΥ

κολποις κατέχουσαι, ὡς θησαυρὸν πολύτιμον καὶ ἀνεξάλειπτον· μεθ' ὧν καὶ ἡμεῖς ὁσημέραι ἀπορυόμενοι ἐξ αὐτῆς τὰ τῶν ἰάσεων, ῥεῖθρα, τῆς νόσου ἀπαλλαττόμεθα, εὐχαριστοῦντες τῷ Θεῷ, καὶ σωτῆρι τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Ἦχος δ'.

Τὸν γενναῖον ἀθλητὴν τιμήσωμεν, Θεόδωρον τὸν ἀοίδιμον· οὗτος γὰρ ἠδρασμένος ἐν τῇ πέτρᾳ τῆς ἀληθείας, Χριστῷ τῷ Θεῷ ἡμῶν, ταῖς ἀλλεπαλλήλοις προσβολαῖς τῶν βασάνων ἀκλόνητος ἔμεινε· καὶ διηυγασμένος ταῖς θείαις ἀκτίσιν αὐτοῦ, μαστίγων καὶ πυρὸς ἀνδρείως κατεφρόνησε, διό, καὶ χαρὰν ἄληκτον ἐν οὐρανῷ ἐκληρώσατο. Ἀλλ' ὦ πολύαθλε μάρτυς, νῦν τρανωτέραν καθορῶν τὴν δόξαν Θεοῦ, πρέσβευε ἐκτενῶς ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ'.

Ἀθλητικοῖς στίγμασιν ὁ Χριστοῦ στρατιώτης, τὰς τοῦ ἐχθροῦ δυνάμεις, ἀνδρικῶς ἐτροπώσατο, Θεόδωρος ὁ ἔνδοξος καὶ στερρὸς ἀθλοφόρος, καὶ νῦν εἰς γῆν τῆς αἰωνίου καταντήσας, Χριστῷ τῷ Θεῷ δυσωπεῖ ἀδιαλείπτως, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος δ'.

Μαρτυρικοῖς ἐγκωμίοις, καὶ ᾠδαῖς πνευματικαῖς, τὸν τοῦ Χριστοῦ ἀριστέα, συνελθόντες οἱ πιστοὶ εὐφημήσωμεν, Θεόδωρον ἀοίδιμον· οὗτος γὰρ τὸν πρὸς ἐχθροὺς ἀοράτους πόλεμον ὑπελθών, καὶ νομίμως ἀθλήσας, τὸ τῆς νίκης ἀξίως βραβεῖον ἐδέξατο, καὶ νῦν μετ' ἀγγέλων ἐν οὐρανοῖς, τὴν ἀκατάλυπτον χορεύων χορείαν, αἰτεῖται τῇ οἰκουμένῃ εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἦχος πλάγ. α'.

Δεῦτε φιλομάρτυρες πάντες, ὁμοφώνως τὸν τοῦ Χριστοῦ ἀθλοφόρον εὐφημήσωμεν, τὸν καλῶς ὑπὲρ τῆς εὐσεβείας καὶ ἀνδρείως ἀγωνισάμενον καὶ τὸ βραβεῖον τῆς νίκης ἀναδυσάμενον, τὸν φωστῆρα τῆς οἰκουμένης, καὶ τῆς ἐκκλησίας ἀειλαμπῆ ἀστέρα. Διὸ καὶ πρὸς αὐτὸν βοῶντες εἴπωμεν, Θεόδωρε μάρτυς ἔνδοξε, ψυχῶν ἡμῶν καὶ σωμάτων γενοῦ σωτηρία, καὶ σκέπη ἀσάλευτος, πρεσβεύων πρὸς Κύριον ὑπὲρ τῶν ἐκ πόθου τελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα ἦχος πλάγ. α'.

Ὥσπερ ἀλάβαστρον πλήρες, ἡ τιμία σου κάρα Θεόδωρε προχέει, οἷόν τι μῦρον πολύτιμον, τὰ ἱάματα. Τούς τε πιστοὺς εὐωδιάζει θαυμασίως, καὶ τοὺς μετὰ πίστεως αὐτῇ προσιόντας, τῶν δεινῶν πάντων συμφορῶν, ῥύεται, τῆς δυσώδους τε πλάνης, καὶ νόσων παντοίων ἀπαλλάττουσα, εὐρωστίαν δωρεῖται πᾶσι, καὶ εἰρήνην καὶ μέγα ἔλεος.

Θεοτοκίον.

Εἰς τὸν Στιχ. στιχηρὰ προσόμοια.

Ἦχος δ'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Πάντα τὰ τερπνὰ καταλιπών, γένος, περιφάνειαν, πλοῦτον, καὶ ὡραιότητα, μάρτυς καὶ τὸ σῶμά σου ἔσχατον δέδωκας, τῷ πυρὶ αἰκιζόμενος, παθὼν ἐκμιμήσει, χαίρων ἠκολούθησας Χριστῷ Θεόδωρε, οὗ καὶ κοινωνὸς παθημάτων, δόξης τε ὡς ὄντως παμμάκαρ, καὶ τῆς βασιλείας ἐχρημάτισας.

Δίκαιος ὡς Φοῖνιξ ἀνθήσει κτλ.

Γλῶτταν ἀφαιρούμενος σοφέ, καὶ τῶν ὀφθαλμῶν ἐκκεντήσεις, ἐγκαρτερήσας στερρῶς, μάρτυς ἀξιάγαστε, Γαβρᾶ Θεόδωρε, καὶ τυράννου ὠμότητα, πατήσας ἀνδρείως, νίκης τὸν πολύτιμον εἴληφας στέφανον, ᾧ νῦν ἐγκοσμούμενος μάκαρ, θρόνῳ τοῦ Δεσπότου σου χαίρων, μετὰ τῶν συνάθλων σου παρίστασαι.

Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Ἔχων παῤῥησίαν πρὸς Θεόν, πάντων τῶν ἐν πίστει τιμώντων, τὴν σὴν σεπτὴν ἑορτήν, Μάρτυς παναοίδιμε, θερμῶς προ-

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟΝ ΠΛΗΡΟΦΟΡΗΣΕΩΣ ΙΩΑΝΝΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ίσταso, τῶν κινδύνων ῥυόμενος, παθῶν ἀπαλλάττων, πάσης περιστάσεως δεινῶν λυτρούμενος, νέμων καὶ ψυχῶν σωτηρίαν, θείαις σου ἐντεύξεσιν ὅπως, χαίροντες ὑμνοῦμέν σε Θεόδωρε.

Δόξα Ἦχος πλαγ. δ'.

Τὴν Θεοδώρητον χάριν, τὴν ὑπέρτιμον ἔχων· τὰς αἰτήσεις τοῖς πιστοῖς παρέχεις, καὶ τοῖς πᾶσιν ἐφαπλῶν τῶν θαυμάτων σου τὰ πλήθη· ὅτε μὲν τῆς ἑῴας στρατιώτης ὁ πρύτανις, καὶ τῆς εὐσεβείας ὑπέρμαχος, κατὰ τῶν Ἀγαρηνῶν καὶ τυράννων γενναίως ἀγωνιζόμενος. Τὸ πολύαθλον σῶμά σου, οὐκ ἐξ ἑτέρων χρωμάτων περιέχρωσας, ἀλλ' ἐξ οἰκείων αἱμάτων ἐπορφύρωσας, ὥσπερ χιὼν ἀπέλαμπες· νῦν δὲ τοῦ Χριστοῦ στρατιώτης ἀήττητος γέγονας, καὶ καταργήσας πᾶσαν τοῦ ἐχθροῦ τὴν δύναμιν, ἀθλοφόρε Θεόδωρε, δι' ἧς εὐφημοῦμέν σε λέγοντες, αἰχμαλώτους λυτροῦσαι, θεραπεύεις νοσοῦντας, πενομένους πλουτίζεις, ἐκδικεῖς ἀδικουμένους, καὶ διασώζεις πλέοντας, στρατιώτας παιδεύεις, τῆς ἁρπαγῆς ἀπέχεσθαι· διὸ ὑπέρτατον δῶρον Θεοῦ ἀνεδείχθης, ἐνεργῶν τοῖς θαύμασιν οὐκ ἔλιπες. Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς Χριστὸν τὸν Θεόν, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἡ σοφία τοῦ Θεοῦ, ὡς ἔμψυχον κιβωτόν σε ἐξελέξατο, Θεοχαρίτωτε Δέσποινα. Τὸ Πανάγιον Πνεῦμα ἐν σοὶ κατεσκήνωσεν, ἀειπάρθενε Κόρη· ὁ συναΐδιος λόγος τοῦ Πατρός, ἐκ σοῦ ἀνεβλάστησε, Θεοτόκε Μαρία· ὁ πρὸ Ἑωσφόρου ἐκ πατρὸς ἀμήτωρ γεννηθείς, ἐπὶ γῆς ἀπάτωρ ἐσαρκώθη ἐκ σοῦ, πανάσπιλε ἀμόλυντε· ὁ Ἄναρχος ὑπὸ σοῦ ἀρχὴν δέχεται, καὶ ἡ ἀόρατος φύσις ἐκ σοῦ συνάπτεται τοῖς βροτοῖς, παντάνασσα πανύμνητε. Ὁ υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου γίνεται, καὶ ἡ ἄπειρος οὐσία ἐν Ἱερουσαλὴμ τὸ ἑκούσιον πάθος εἵληφεν, ἵνα ἡμᾶς ἀνάγῃ εἰς τὴν ἄνω Ἱερουσαλήμ· ἡ σωτηρία τοῦ κόσμου ὑπὸ σοῦ ἀνέτειλεν

ἡμῖν, χαῖρε νύμφη ἀνύμφευτε. Καὶ νῦν σὺν τῷ πανολβίῳ Θεοδώρῳ, ἀσυγκρίτως σὲ μακαρίζομεν, μεσίτευσον ὑπὲρ ἡμῶν πρὸς τὸν ἐκ σοῦ τεχθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον.

Ἀπολυτίκιον. Τοῦ λίθου σφραγισθέντος.

Τῆς Χαλδείας ἡγεμὼν καὶ προστάτης ὑπάρχων, Σὺ ὁ βλαστὸς τῶν Γαβράδων, ὑπὲρ Χριστοῦ τὸ σὸν αἷμα ἐξέχεας· μὴ πτοηθῇς τὰς ἀπειλὰς τῶν δυσμενῶν, ἐν οὐρανοῖς νῦν ἀγάλλῃ τῷ θρόνῳ τῆς τρισηλίου θεότητος παριστάμενος. Δόξα τῷ σὲ ἰσχύσαντι Θεῷ, δόξα τῷ σὲ στεφανώσαντι Χριστῷ, δόξα τῷ σὲ δοξάσαντι θείῳ Πνεύματι Θεόδωρε πάνσοφε.

Εἰς τὸν ὄρθρον μετὰ τὴν στιχ.

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τὴν κάραν σου σοφέ, τοῦ Χριστοῦ στρατιῶτα, ὁ τύραννος σκευήν, ποτηρίου ποιήσας, αὐτήν, εἰς συμπόσια τὰ αὐτοῦ προσέφερετο, ἣν κατέλιπες ἐν τῷ παρόντι τῷ βίῳ, καὶ ἀπέτεμες τὰς κεφαλὰς τῶν ἀνόμων, Θεόδωρε πάνσοφε.

Δόξα, τὸ αὐτό· καὶ νῦν.

Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἀμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὴν δ' στιχ. καθισμ. Ἦχος γ'. τὴν ὡραιότητα.

Τὴν καθαρότητα μάρτυς τοῦ βίου σου, καὶ τὸ ὑπέρλαμπρον τοῦ μαρτυρίου, καταπλαγεῖσα ἡ ἑῴα, βοᾷ σοι εὐφραινομένη· σήμερον τιμήσωμεν τὴν σεβάσμιον κάραν σου· θραῦσον τὰ φρυάγματα, τῶν ἐχθρῶν ἡμῶν Ἅγιε, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν κινδύνων, καὶ νοσημάτων τοὺς ὑμνοῦντάς σε.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΑΓΝΩΣΤΟΠΟΥΛΟΥ ΓΕΩΡΓΙΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δόξα τὸ αὐτό· καὶ νῦν.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε. Ποῖον σοι ἐγκώμιον προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; Ἀπορῶ καὶ ἐξίσταμαι. Διὸ ὡς προσετάγην βοῶ σοι· χαῖρε ἡ κεχαριτωμένη.

Μετὰ τὸν πολυέλ. κάθισμα, ἦχος πλάγ. δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Τοῦ Χριστοῦ τῷ σημείῳ καθοπλισθείς, τοῦ σατράπου ἐν τούτῳ πᾶσαν ἰσχύν, ἀνδρείως κατέβαλες, ὡς τῆς πίστεως πρόμαχος, τὴν ἀθείαν τούτου ἐλέγξας πανόλβιε, καὶ τὴν τριάδα κηρύξας προθύμως ἀοίδιμε, ὅθεν ἐπαξίως παρ' αὐτῆς τοὺς στεφάνους, τῆς νίκης ἀπέλαβες, ὡς ἀθλήσας στερρότατα, ἀθλοφόρε Θεόδωρε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν τῆς οἰκουμένης πάσης τὸ μέγα κειμήλιον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη τῷ Κόσμῳ καὶ ἄφεσις τῶν ἀρχαίων ἐγκλημάτων. Διὰ τοῦτο βοῶμεν αὐτῇ. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς εὐσεβῶς προσκυνοῦσι τὸν πανάγιον τόκον σου.

Οἱ ἀναβαθμοὶ τοῦ δ΄. ἤχου.

Στίχος. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.
» Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου,

Πᾶσα πνοή. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Ζήτει Ἀπριλίου (23).

Ὁ Ν. καὶ τὸ ἰδιόμελον. Ἦχος δ΄.

Δεῦτε φίλαθλοι τὸ τῶν ἀθλητῶν καύχημα Θεόδωρον τὸν θεῖον ὕμνοις τιμήσωμεν, οὗτος γὰρ τῇ πυρᾷ ἐναπλωθείς, καὶ ἐν αὐτῇ

γενναίως ἐγκαρτερήσας, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε, καὶ διαμένον στέφος ἐκληρώσατο, ὅθεν δυσωπεῖ ὁ πολύαθλος τοῦ Χριστοῦ ἀθλητής, τοῦ ῥυσθῆναι κινδύνων τοὺς ἐν πίστει καὶ πόθῳ τελοῦντας τὴν μνήμην αὐτοῦ.

Εἶτα, ψάλλεται ὁ κανὼν τῆς Θεοτόκου, μετὰ τῶν εἱρμῶν εἰς Τ΄. καὶ τοῦ ἁγίου.

Ὁ κανὼν τοῦ ἁγίου φέρει ἀκροστιχίδα,
Γαβρᾷ κλέος μάρτυρι τῷ Θεοδώρῳ. Ψάλλω γηθοσύνως.

Ὠδὴ α΄. Ἦχος α΄. ὁ εἱρμός.

«Χριστὸς γεννᾶται».

Γενναῖε Γαβρᾶ Θεόδωρε, ἀγῶνας οὓς ὑπέστης ὑμνοῦμέν σε, ἀθέων θράσος ἐν γῇ κατέβαλες, εἴληφας ἐξ ὕψους τὸ θεῖον διάδημα, παρὰ Χριστοῦ τοῦ Θεοῦ ἐνδόξως, ὅτι δεδόξασται.

Ἀστὴρ ἐφάνης λαμπρότατος, τὴν γῆν τῆς ἑῴας ἐφώτισας, Θεόδωρε πάνσοφε, ἐθεολόγεις σὺν ταῖς σοφαῖς στρατηγίαις σου· τὸν ἐκ τῆς Παρθένου ἀναλάμψαντα Χριστόν, ὅτι δεδόξασται.

Βλαστὸν τῆς Ἄτρας ὑμνήσωμεν, τὸν θεῖον ἀθλοφόρον Θεόδωρον, δόξαν εὐγένειαν παρέδραμε, δόξαν λαβὼν τὴν ἀΐδιον, ἄθλους οὓς ὑπέστη ἐν Χριστῷ, ἄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

Θεοτοκίον.

Ῥυσθῆναι, Κόρη Πανάμωμε, παθῶν ἐπικρατείας τοὺς δούλους σου, τὸν Σὸν ἐκτενῶς ἱκέτευε, Κύριον καὶ Δεσπότην, ὃν ἐκ τῶν σῶν, Πάναγνε αἱμάτων, ἐσωμάτωσας ἡμῖν προσομιλήσαντα.

Ὠδὴ Γ΄.

Τῷ πρὸ τῶν αἰώνων.

Ἀλγηδόνας Μάκαρ, ἔφερες Θεόδωρε, τῷ τραυματοῦσθαι τὸν Βελίαρ τραυματίζων τὸν ὄφιν, εἰς δόξαν Θεοῦ, ἀξιωθεὶς σὺν μάρτυσιν ἔψαλλες, ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Κόσμου τερπνὰ παρεῖδες, ἀντιλήπτωρ Γαβρᾶ Θεόδωρε, τῆς

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

σαρκικῆς εὐγενείας καταγνοὺς ὡς προσκαίρου, ποθεῖς τῷ Χριστῷ σὺν μάρτυσιν ἔψαλλες, ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Λύμην καρδίας, τοῖς τυράννοις ἐβόας καθάραντες, τῷ σαρκικῶς ἀποτεχθέντι, καὶ Πατρὶ συνανάρχῳ Χριστῷ, σὺν ἐμοὶ κραυγάσατε, ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Θεοτοκίον.

Ἐβλάστησας τὸν βότρυν, ὡς κατάκαρπος ἄμπελος, Ἄχραντε συλλαβοῦσα, καὶ τεκοῦσα τὸν ἀκήρατον λόγον, Χριστὸν οἶνον ἀποστάζοντα, θεογνωσίας αὐτόν, ὡς Θεὸν αἴτησαι σωθῆναι ἡμᾶς.

Καθίσματα, ἦχος γ'.

Θείας πίστεως.

Ἔργοις ἔλαμψας τῆς εὐσεβείας, πλάνην ἔσβεσας κακοδοξίας, ὡς τοῦ Χριστοῦ στρατιώτης γενόμενος, καὶ παρανόμων τὰς φάλαγγας ἴσχυνας, τροπαιοφόρε παμμάκαρ Θεόδωρε, μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα καὶ νῦν.

Θαῦμα μέγιστον! πῶς συνεσχέθη ὁ ἀχώρητος ἐν τῇ γαστρί σου, καὶ ἐσαρκώθη, καὶ ἐφάνη ὡς ἄνθρωπος, μὴ ὑπομείνας φυρμόν, ἢ διαίρεσιν τῆς θεϊκῆς καὶ ἀτρέπτου Θεότητος, Κόρη Πάναγνε. Διὸ Θεοτόκον σὲ πιστῶς κηρύσσομεν, ἀεὶ καὶ δοξάζωμεν.

Ὠδὴ Δ'.

Ῥάβδος ἐκ τῆς ῥίζης.

Οὕτως μαθητεύσας τῷ Θεῷ, τὰς ἀρετὰς ὡς δῶρον ἀπέκτησας, τῶν γὰρ πενήτων ὑπῆρχες τροφεύς, καὶ τῶν χηρῶν δὲ ἀντιλήπτωρ, καὶ αἰχμαλώτων ῥύστης Θεόδωρε, ὅθεν ψάλλεις οὕτω φαιδρῶς, δόξα τῇ δυνάμει σου Κύριε.

Σήμερον τῷ κόσμῳ ἐνδημῶν, τῶν μαρτύρων ἀνύμνεις χοροὺς Θεόδωρε, καὶ ταῖς αὐτῶν γὰρ κοινωνήσας, ἀδιαλείπτως μνείας αὐτῶν τῆς δόξης μάκαρ ἠξίωσας, καὶ ψάλλεις σὺν αὐτοῖς τῷ Θεῷ δόξα τῇ δυνάμει σου Κύριε.

Μάρτυς χρηματίσας τοῦ Χριστοῦ Θεὸς ἐκ βροτοῦ χάριτι, τρανῶς γὰρ ὤφθης ἀεισέβαστε, τοὺς ὅρους τῶν γηγενῶν παρελάσας φύσεως, οἷα ζηλωτὴς τῶν ἀθλοφόρων, οἷς καὶ συμψάλλεις φαιδρῶς, δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ἄνθος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ῥάβδος ἀνεβλάστησας, τὸν φυτουργὸν πάσης τῆς κτίσεως, μαράναντα τὰ φυτά, τῆς ἀκάρπου γνώσεως, πίστιν δὲ ἡμῖν ἀληθεστάτην, φυτεύσαντα εὐσεβῶς, ἄχραντε Παρθένε πανύμνητε.

Ὠδὴ Ε'.

Θεὸς ὢν εἰρήνης πατήρ.

Ῥύσιον τὸ αἷμα, Χριστὸν ἐγνωκώς, τῶν ἀνθρώπων τοῦ χρέους γενόμενον, τὸ αἷμά σου ἐξέχεας προθύμως δι' αὐτόν, ὅθεν θεοφρόνως φυγὼν θανάτου τὴν κακίαν, ἐκ νυκτὸς ὀρθρίζων γάρ, ἐδοξολόγεις τὸν φιλάνθρωπον.

Τὸν πλοῦτόν σου καλῶς κεχρημένος, εἰδὼς τοῦ θανάτου λυτρούμενον ἅγιε, καὶ πίστιν ἐκκαθαίρουσαν, πταισμάτων τὴν πληθύν, παννύχως ἑορτάζων ἡμέρας ἑορτίους, ἐκ νυκτὸς ὀρθρίζων δή, πτωχοῖς ἐσκόρπιζες τὸν πλοῦτόν σου.

Ὑπῆρξας δίκαιος, λαμπρὸς νικητής, οὐρανοὺς εἰσέδραμες ὡς Ἄγγελος, γενναίως ἠνδραγάθησας ἐν πολέμοις τὸ πρὶν τοὺς ἐχθροὺς τροπούμενος· ἐν καιρῷ δὲ μαρτυρίου, ἐκ νυκτὸς ὀρθρίζων γάρ, ἐδοξολόγεις τὸν φιλάνθρωπον.

Θεοτοκίον.

Ῥῆμα τοῦ Ἀγγέλου, Παρθένε ἁγνή, ὑπερέχουσα ὤφθης κυήσασα, βουλῆς μεγάλης Ἄγγελον, Θεὸν Ἐμμανουήλ, βρο-

ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΑΔΟΣ
ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΟΥ ΚΑΙ ΙΣΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τοὺς ἐπουρανίους, αὐτοῦ τῇ καταβάσει, ἐργασάμενον Κόρῃ, δι' εὐσπλαγχνίαν ἀδιήγητον.

Ὠδὴ ΣΤ'.

Σπλάγχνων Ἰων.

Ἴσχεις καλλονήν, μαρτύρων Θεόδωρε, εἰς ὕπνον κληθεὶς νόμον τῆς φύσεως, ὅλος ζήλου δὲ γεγονὼς θειοτέρου ἀνδρείᾳ ῥωσθείς, κοσμικῆς δόξης προαρπάζεις τὴν οὐράνιον, ὅθεν ἀναστὰς κατέσπευσας, ταῖς βασάνοις προδοῦναι τὸ σῶμά σου.

Τυχεῖν ἀληθοῦς δόξης ἐφιέμενος, τὴν δόξαν πατεῖς τὴν διαῤῥέουσαν, νοῦν πτερώσας δέ, ἀπερῥάγης τῶν κάτω καὶ κόσμου παντός, καὶ ψυχῆς σου τὴν ὁλκάδα σὺ διέσωσας, ὁρμῳ γαληνῷ προσπλεύσας δέ, ἀκυμάντου χαρᾶς κατηξίωσας.

Ὠκείᾳ ψυχῇ, Θεὸν ἐξεζήτησας, διόπερ αὐτῷ ἐγνώσθης ἅγιε, καὶ ἐπέγνως δὲ ὡς ἐγνώσθη αὐτῷ γενικὸς ἀθλητής, καθαρότερος ἐν θλίψεσι γενόμενος. Ὅθεν ἐν εἱρκτῇ καθήμενος, εὐωδίαν ὀσφραίνου ἑόρτιον.

Θεοτοκίον.

Θύρα θεϊκῆς ἀκτῖνος σὺ Δέσποινα, πηγή τε φωτὸς ἀδύτου γέγονας, τὸ γὰρ πλήρωμα τῆς θεότητος ἅπαν ἐσκήνωσεν, ἀπορῥήτως ἐν τῇ μήτρᾳ σου πανάμωμε, οὗ περ, φυσικὴν ἐνέργειαν, καὶ τὴν αἴγλην βραβεύεις τοῖς χρήζουσι.

Κοντάκιον. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὁ τῆς Ἑῴας στρατηγὸς ὑπερθαύμαστος, καὶ τῶν Γαβράδων βλαστὸς ὑπερμέγιστος, τῆς Τραπεζοῦντος ὁ ἄριστος πρύτανις, φρουρός, σκέπε, φρούρει, φύλαττε τοὺς πιστῶς σε ὑμνοῦντας θρόνῳ παριστάμενος τῆς ἁγίας Τριάδος, ἣν ἐκδυσώπει σώζεσθαι ἡμᾶς, Μεγαλομάρτυς Θεόδωρε τρισόλβιε.

Ὁ οἶκος.

Στέφων πανήγυριν τὴν σὴν ἀθλοφόρε, Κυρίου ὕμνοις, τοὺς σοὺς ἀγῶνας κροτῶ καὶ ἀνυμνῶ τὰ παλαίσματα, ὑπὲρ μόνου

γὰρ τοῦ κτίστου πάντων, ἐν καμίνῳ ὡς χρυσὸς ἐδοκιμάσθης, τὸν σὸν σταθερὸν λογισμὸν οὐκ ἔσεισε τὸ τῶν βασάνων πλῆθος· ὅθεν μάρτυς ἀξιάγαστος δειχθείς, χοροῖς τῶν μαρτύρων ἠρίθμησαι, ὡς σατράπου νικήσας ὠμότητα, Μεγαλομάρτυς Θεόδωρε τρισόλβιε.

Τῷ αὐτῷ μηνί, ϛ'. Ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Γαβρᾶ.

Θεοδώρων ὕστατος Γαβρᾶς μαρτύρων,
Σπεύσας στεφάνων, ἠξιώθη τῶν ἴσων,
Δευτερίη Θεόδωρος ἔτλη πῦρ, γηθόσυνος κήρ.

Ὁ ἔνδοξος οὗτος καὶ γενναῖος ἀθλητὴς τοῦ Κυρίου μεγαλομάρτυς Θεόδωρος ὁ Γαβρᾶς, ἐκ τῆς ἐν Χαλδείᾳ κωμοπόλεως Ἄτρας ὁρμώμενος, καὶ τὴν τῆς γεννήσεως ἀρχὴν ἐξ εὐγενῶν καὶ μεγαλοδόξων λαχών, οὐ μόνον εἰς τὴν τῆς ἀρετῆς ἐκείνων φήμην καὶ δόξαν αὐτὸν ἀφικέσθαι, τῶν πλούτῳ τε πολλῷ καὶ δόξῃ καὶ ἀξιώματι κεκοσμημένων, περιφανῶν τε καὶ ἀνδρικῶν καὶ τὰ πρῶτα κεκτημένων, τῶν ἐν τοῖς ἀνατολικοῖς μέρεσι θεμάτων, Χαλδείαν φημὶ καὶ Κολωνίαν, καὶ ὅσα αὐτοῖς ὁμοροῦντα πεφύκασιν, ἀλλ' αὐτὸς ἐκείνων τῶν γεννητόρων κόσμος ἐγένετο, πάντας ὑπερελάσας ἀνδρείᾳ τε καὶ συνέσει, καὶ πλούτῳ καὶ τῷ μεγέθει τῶν ἀξιωμάτων, πήχει βασιλικῷ, ὃ δὴ λέγεται, καὶ γεγονὼς κόσμος τοῦ γένους τοῦ παντός· οὐκ ἐξ ἐκείνων αὐτὸς κοσμηθείς, κἂν τοῖς ἄλλοις πᾶσιν ἀλλ' οὐ τοῖς ἄρχουσι μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς περιβεβλημένοις τὴν πορφύραν, καὶ τὸ διάδημα, τοιούτων ἐκφῦναι γονέων δι' εὐχῆς ἦν. Τοσοῦτοι γὰρ ἦσαν καὶ τοιοῦτοι καὶ τῇ δόξῃ καὶ τῇ συνέσει καὶ τηρήσει τῶν τοῦ Χριστοῦ ἐντολῶν, πάντας ὑπερνικῶντες, ὥστε καὶ μηδὲν ἦν κεκτημένος προτέρημα εἰς καλλώπισμα, ὁ τούτων ἐκφύς. Ἀρκετὸν εἶναι πρὸς δόξαν τὸ τοιούτους λαβεῖν γεννήτορας. Οὗτος οὖν ὁ μεγαλομάρτυς Θεόδωρος πολλὴν τὴν καταδρομὴν τῶν ἀγαρηνῶν ἐνδεικνύμενος, καὶ βουλόμενος τὸ μνημόσυνον αὐτῶν ὀλέσαι ἀπὸ τῆς γῆς ὡς ἀπίστων, πολλὰ γραφῇ παραδοῦναι. Ἐπεὶ γὰρ καλῶς καὶ προσηκόντως, κατὰ τῶν ὁρωμένων καὶ αἰσθητῶν ἐχθρῶν πολέμους, καὶ τὰ κατ' ἐκείνων ἀνδραγαθήματα ἐπεδείξατο, ἔδει δὲ καὶ πρὸς τὸν νοητὸν καὶ ἀόρατον ἐχθρὸν ἀντιπαρατάξασθαι, δι' ὃν καὶ μᾶλλον ζηλῶν ἦν κατὰ τῶν ὁρωμένων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΙΔΡΥΜΑ ΜΑΝΟΥΗΛ ΓΕΩΡΓΙΑΔΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΣΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἀγωνιζόμενος, δι' εὐχῆς ἦν τοῦτο ποιούμενος τὸ τῷ μαρτυρικῷ κοσμηθῆναι στεφάνῳ· ἦν δὲ τῶν πτωχῶν εἰσάπαν προμηθούμενος. Ἐκ δὲ τοῦ ἑνὸς τούτου, καὶ περὶ τῶν ἄλλων τεκμαίρεσθαι χρή. Τῶν στρατιωτῶν τις ἐκ πενιχρᾶς γυναικὸς σταφυλῆς βότρυν ἁρπάσας τοῦτον βέβρωκεν, ὅπερ εἰς γνῶσιν τῷ μεγάλῳ ἐλθών, διὰ μαγκλαβίων ἐν μέσῳ τοῦ ἄστεως, τόσον ἐκ τόπου παιδευθῆναι τὸν τοῦτο ποιήσαντα, διωρίσατο, ὅπερ καὶ γέγονεν, ὥστε τὸν τοιοῦτον βότρυν, ἀντὶ εὐφροσύνης εἰς πικρίαν αὐτῷ γενέσθαι, κατὰ τὴν Γραφήν, καὶ ὑπόδειγμα τὸν τοιοῦτον καὶ τοῖς ἄλλοις γενέσθαι, τοῦ μὴ τοιαῦτα τολμᾶν. Ἐπεὶ δὲ δι' ἐφέσεως εἶχεν, ὡς δεδήλωται, τὸ μαρτυρῆσαι ὑπὲρ Χριστοῦ, καί γε τοῦ σκοποῦ οὐ διήμαρτε. Τοῦτον γὰρ τὸν χρόνον βασιλεύοντος Κομνηνοῦ τοῦ Ἐμμανουήλ, ἐν ἔτει 1080 Ἀνδρόνικος ἀποστατήσας καὶ εἰς φιλίαν παραληφθεὶς ὑπὸ Ἀχμὲτ Καζῆ Μελίκ, ἐξελθόντος ἐκ Μελιτινῆς, ὁμοῦ τὰς δυνάμεις τῶν Βυζαντινῶν κατέκερμάτιζον πορθοῦντες τὰ κατὰ Σεβάστειαν, Κολωνίαν, καὶ Νικόπολιν. Τότε δὴ καὶ ὁ Ἅγιος ἅτε στρατηγὸς καὶ ἡγεμὼν Χαλδείας Τραπεζοῦντος καὶ Κολωνίας, κατ' αὐτῶν ἐπιὼν καὶ ἄοκνος ὢν καὶ ὀξὺς τὴν φύσιν, πολλῷ δὴ μάλιστα τῇ ψυχῇ ἐῤῥωμένος, πολλὰ καὶ περιφανῆ πολεμικὰ κατ' αὐτῶν εἴργαστο. Σφόδρα δὲ φοβερὸς τοῖς ἐχθροῖς γενόμενος καὶ πολλοὺς τῶν στρατηγῶν τοῦ Μελὶκ ἀποκτείνας, ἐγκύπτει τέλος τῇ ἀπειρίᾳ τῶν ἐχθρῶν. Κρατηθεὶς γὰρ ὑπὸ τῶν Ἀγαρηνῶν Θεοῦ τοῦτο πάντως παραχωρήσαντος, καὶ τῷ ἐκείνων ὑποτρέχοντι, καὶ ἀρχῇ, καὶ τῇ ἄλλῃ φυσικῇ ἀγριότητι, καὶ ὅλως ὑποχείριος γενόμενος τοῦ Σατράπου, ᾧ τοὔνομα ἦν Ἀμυράλης, τοῦ Σουλτάνου Καζῆ, τὸν Χριστὸν ἀρνεῖσθαι κατηναγκάζετο, καὶ τῇ τῶν Ἀγαρηνῶν ἀθέων πίστει προσέρχεσθαι, εἰδὲ μὴ τοῦτο τάχιον ἑλέσθαι ποιήσειν, κολάσεσιν ὑποβληθῆναι πολλαῖς, σὺν ταύταις ὑποστῆναι καὶ θάνατον. Ἀλλ' ὁ πολὺς τῇ συνέσει ἀθλητὴς οὗτος τοῦ ὑψίστου καὶ μέγας ἐν σοφίᾳ πολλῷ ἄλλως καθ' ἑαυτὸν διελογίζετο. Μὴ πειθόμενος γὰρ τῷ τυραννικῷ ἐκείνῳ κελεύσματι καὶ γεγονυῖᾳ τῇ φωνῇ τὸν Χριστὸν Υἱὸν Θεοῦ καὶ Θεὸν ὁμολογῶν τοιούτους πρὸς Ἀμυράλην λόγους ἐποιήσατο. Οὐδὲν τῶν ὁρωμένων ἐμοὶ τερπνόν, ὅλης τῆς ἐπιθυμίας εἰς τὸ παθεῖν ὑπὲρ Χριστοῦ κεκενωμένως. Τί δόξαν μοὶ ὑπισχνεῖ, ἧς οὐκ εἶ κύριος ; Τί δίδως, ἃ καὶ σοὶ θᾶττον ἀπολείπει ; τί δ' ὡς φοβερὸν τὸν θάνατον ἀπειλεῖς, ὃς σοὶ μᾶλλον ἁπαντᾷ φοβερός; ἐν ἐμοὶ τερπνόν, τὸ μετὰ Χριστοῦ εἶναι· ἓν δὲ φοβερόν, τὸ ἐκείνου χωρίζεσθαι. Εἰ τὴν ἔνσαρκον οἰκονομίαν καὶ τὴν πρὸς τοὺς ἀνθρώπους ἄκραν συγκατάβασιν τοῦ ὑψίστου ἔγνως, οὐκ ἂν τοίνυν πολέμιος τοῖς Χριστιανοῖς γενόμενος τοσούτους τῷ πυρὶ καὶ σιδήρῳ παρεδίδους· οὗτοι γὰρ τῶν οὐρανίων ἀγαθῶν τετυχυκότες νῦν εὐφραίνονται. Σὺ δὲ βληθήσῃ ὄντως ἐν γεέννῃ πυρός. Ἐνωτίζου τοίνυν τοῖς ἐμοῖς ῥήμασι, καὶ τὴν πατρῴαν πλάνην ἀποπτύσας, πίστευε τὸν υἱὸν τοῦ Θεοῦ, ὃς τὸ πανάχραντον αὐτοῦ αἷμα ἐξέχεεν, ἐπὶ τοῦ Σταυροῦ· ἵνα σὲ λύσῃ ἐκ τῶν τῆς πλάνης δεσμῶν. Ἀναγεννήθητι οὖν δι' ὕδατος καὶ Πνεύματος, ὅπως τύχῃς ἀφέσεως τῆς σῆς προαγνωσίας πλημμελήμασι, καὶ γείνῃς μέτοχος τῶν οὐρανίων ἀγαθῶν· καὶ μὴ κακῶς διακρίνων τὴν ἀλήθειαν, ὡσεὶ τὸν ἡγεμόνα νοῦν ἀπολωλεκὼς τῆς βελτιώσεως τὰ χείρονα προτιμήσῃς, καὶ λογικὸς ὢν τῶν ἀλόγων γενῶν ἑκουσίως σεαυτὸν ἀναδείξῃς ἀλογώτερον, ὡς καὶ τοῦ αἰωνίου πυρὸς μέτοχος γείνῃς. Ταῦτα δέ, οὐ γὰρ μαλάσσεται ἡ ἀτίθασσος ψυχή, βαθύτερον εἰσέδυσαν εἰς τὴν ψυχὴν τοῦ τυράννου, ἥτις παρελόγιστο· ὅθεν ταραχῆς καὶ ὀργῆς ἐχόμενος ἐπιτάττει, ἵνα ὁριμυτάταις βασάνοις τὸν Θεόδωρον ἐπιβάλλωσι· καὶ πρῶτον μὲν ὁ τρισμακάριστος ἐπὶ χιόνος πρηνὴς ἐκταθείς, πολλὰς κατὰ τοῦ νότου ἐδέξατο μάστιγας. Δοκοῦντος τοῦ τυράννου διὰ τῆς τοιαύτης ἴσως αἰκίας μεταστῆσαι τοῦτον τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως· ἀλλὰ πολλῷ ἄλλως ἐξέβη τὸ πρᾶγμα ἢ ὅπερ ᾤετο, εὗρον γὰρ αὐτὸν ὅλως μὴ πειθόμενον, ἀλλὰ γεγονωτέρᾳ μᾶλλον τῇ φωνῇ κηρύσσοντα τὸν Χριστὸν καὶ τὴν ἐξ ὕψους ἀντίληψιν ἐπικαλούμενον οὕτως: Εὐχαριστῶ Σοι, Βασιλεῦ ὕψιστε υἱὲ καὶ λόγε τοῦ Θεοῦ, ὅτι ἀνάξιον ὄντα με κατηξίωσας ἐν τῷ σταδίῳ τῆς ἀθλήσεως. Ἐνίσχυσον τοῦ γενέσθαι με νῦν θυσία εὐπρόσδεκτος ἐνώπιον σοῦ τοῦ ἐπὶ ξύλου τανυθέντος τῇ σῇ ἀγαθότητι διὰ τὴν Σωτηρίαν ἡμῶν. Εὐδόκησον, βασιλεῦ ἅγιε, τῇ θείᾳ σου ἀντιλήψει τοῦ γενέσθαι με μέτοχον τῆς σῆς ἐπουρανίου βασιλείας : Ταῦτα δὲ τοῦ ἁγίου λέγοντος, εἰς τοιαύτην παραφροσύνην προῆλθεν ὁ τύραννος, ὥστε τῇ προστάξει αὐτοῦ μελῃδὸν ὁ μάρτυς κατετέμνετο. Τὴν θεορῥήμονα τούτου γλῶτταν ἐξέτεμον, τοὺς ὀφθαλμοὺς ἀνηλεῶς ἐξώρυττον. Τὸ δέρας ἀφαιροῦσι τῆς κεφαλῆς, καὶ χειρῶν τε καὶ ποδῶν, καὶ τέλος παντὸς ἄλλου μέρους στερήσαντες, παρέδωκαν τῷ πυρί. Καὶ ὅτε μὲν ἡ θεορῥήμων αὐτοῦ γλῶττα ἐξετέμνετο, ὁ Ἅγιος οὐκ ἔληγεν δοξολογῶν. Ἀλλ' οἷον δὴ δῶρον τὸ κάλλιστον προσέφερε τῷ Θεῷ ! καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὅτε ἀνηλεῶς ἐξώρυττον, τοιαύτην ἀφίει φωνήν· προσφερέσθω θυσία ὁ ὀφθαλμός, τῷ ἀληθινῷ καὶ θείῳ φωτί, ὅπερ ἐν ἡμῖν ἔκτισε τὸ φῶς: καὶ τῆς κεφαλῆς αὐτοῦ τοῦ δέρατος ἀφαιρουμένου ἔλεγεν : ἃ ὁ δημιουργὸς τῇ κεφαλῇ ἐθησαύρισε, δι' αὐτῶν τὸν θησαυρὸν τῆς πίστεως τηρήσωμεν ἄσυλον,

ΑΡΙΣΤΟΤΕΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΕΠΙΤΡΟΠΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

καὶ ὡς ὀσμὴν εὐωδίας ταύτην προσφέρομεν αὐτῷ: Ὅτε δὲ χειρῶν τε, καὶ ποδῶν, καὶ παντὸς ἄλλου μέρους στερουμένου, εὐχαριστῶν τῷ Θεῷ ἔλεγεν: ὡσεὶ βότρυς εὐφρόσυνος, ἀποτεμνόμενος, ἐκ κλήματος ἀμπέλου, τῷ Θεῷ προσφέρομαι. Ἐν πυρὶ δὲ βληθεὶς ὁ μάρτυς, ὥσπερ τὸ πάλαι οἱ τρεῖς παῖδες τὴν κάμινον εἰς ὄρσον μετέβαλον, οὕτω καὶ ὁ Ἅγιος ὁμότροπος αὐτῶν ἐν μέσῳ τοῦ πυρὸς ὤν, ἐκαρτέρει, ὥσπερ ὀρσιζόμενος ὡς ἐν ἅρματι ἐπέβαινεν εἰς φῶς ἀνέσπερον καὶ παραδόξως ἐκελάδει τὴν φιλανθρωπίαν τοῦ ὑψίστου, προσεκάλει δὲ πᾶσαν τὴν κτίσιν πρὸς ὑμνῳδίαν Θεοῦ, καὶ δοξολογίαν· αὐλοις ὅμμασιν ἑώρα τῷ φωτοδότι Χριστῷ, ἀγαλλόμενος ἔψαλλεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον· οὕτω δὲ τὸ τῆς ἀθλήσεως πέρας ἀπείληφε, καὶ τὸν ἀντίπαλον κατεπάλαισε· ἦν γὰρ θαυμάσαι τὸ τούτου καρτερικόν! Τὴν δὲ τιμίαν καὶ θαυματουργὸν αὐτοῦ κεφαλὴν ὁ τύραννος εἰς τύπον ποιήσας ἐκ πόματος χρυσίῳ κατέδησεν, πολλὰς δὲ αὕτη τὰς ἰάσεις ἐν Θεοδοσιουπόλει τελέσασα ἦν, ὅπου δὴ καὶ τὸ τέλος ὁ μάρτυς ἀπείληφεν· ὕστερον δὲ ἡ τιμία αὐτοῦ κάρα μετεκομίσθη ἐν Τραπεζοῦντι τῇ πόλει, τοῦ πρωτοσεβάστου Κωνσταντίνου καὶ ἀδελφιδοῦ αὐτοῦ τοῦ Μεγαλομάρτυρος, τὰ κατ' αὐτὴν περιέποντος, ὅστις καὶ τὸν Ἀμηρᾶν φονεύσας ὑπὲρ τὴν Οἰνόην πολεμῶν καὶ τοὺς Ἀγαρηνοὺς ἀποδιώξας ἐκ τοῦ Πόντου τὸ ταύτην μετακομισθῆναι ᾠκονόμησε λαμπραῖς τε ταῖς παρασκευαῖς καὶ ταῖς προπομπαῖς καὶ λαμπάσι τὴν ἀνακομιδὴν ἐτέλεσε. — Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ πόλει Τραπεζοῦντι, ἐν ᾗ καὶ ἡ τιμία αὐτοῦ κεφαλὴ μετεκομίσθη, ἴδιον ἱερὸν οἶκον εἰς τὸ τοῦ Ἁγίου ὄνομα ἔχουσα τιμώμενον. Ταῖς αὐτοῦ πρεσβείαις ὁ Θεός, σῶσαι πάντας ἡμᾶς.

ΑΜΗΝ.

Ὠδὴ Ζ'.

Οἱ παῖδες εὐσεβείᾳ.

Ἐνεγράψας πρὸς τὴν τῶν ζώντων βίβλον, σεαυτόν, ὦ πάνσοφε Γαβρὰ Θεόδωρε, τῶν σῶν μελῶν γαρ στερούμενος, καὶ τῷ φλογίζοντι πυρὶ ἐγκαρτερῶν ἐψαλλες, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὁμότροπος ἐδείχθης τῶν τριῶν παίδων, καὶ ὅλβιος, ἐπὶ γῆς

γενναῖος ἐφάνης, ἐν τῷ σταδίῳ ἐθεολόγεις Χριστόν, κραυγάζων ἀπαύστως τῷ ποιήσαντι, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Δροσιζόμενος εἰς τῶν βασάνων μάκαρ, εὐσεβῶς, ὡς οἱ παῖδες πρίν, τὴν κάμινον εἰς δρόσον μετέβαλον, σὺ καρτερῶν ἐπεβῆς ὡς ἐν ἅρματι φῶς ἀνέσπερον, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὡς ὄμβρος καταβὰς ἐπὶ πόκον, ἐν σῇ γαστρὶ σεσάρκωται, ὁ τῆς εἰρήνης ποταμός, ἡ πηγὴ τῆς ἀγαθότητος, ὁ σταγόνας ὑετοῦ ἐξαριθμούμενος, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ Η'.

Θαύματος ὑπερφυοῦς.

Ῥήμασιν ὡς θειοτάταις πυρίναις πύλας, ἀσεβῶν κατέφλεξας τὴν πλάνην, νῦν δὲ λαμπρῶς ἀξιωθείς, σὺν τοῖς χοροῖς τῶν ἀποστόλων, καὶ μαρτύρων παριστᾶναι Χριστῷ σὺν αὐτοῖς ἀναμέλπεις ἀγαλλόμενος· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὡραῖον καὶ ἔκλαμπρον βίον διέβης, τοὺς ἀσεβεῖς πάλαι τροπούμενος, νῦν δὲ ἀθλήσας γενναίως, τοὺς ὀφθαλμοὺς πυρούμενος, ἐνορῶν αὐλοις τοῖς ὄμμασι τῷ φωτοδότι Χριστῷ, μέλπων ἀγαλλόμενος· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ψάλλων ἀνεβόας φαιδρῶς, Θεοφόρε, τὸ θανεῖν μοι κέρδος ἄπειρον, ἐν οὐρανοῖς κρυπτόμενον, τὸ ζῶν ἐμοὶ Χριστός ἐστι τὸ δὲ σῶμά μου πόθῳ πυρὶ φλέγεσθαι, ὡς ἐξ ὕψους ὀρσιζόμενος ἀγάλλομαι· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἄφλεκτος καιομένη, ἡ βάτος τύπον προεικονισεν ἄχραντε Κόρη, πάλαι εἰς τὸ ὄρος τοῦ Σινᾶ, τὸ μυστήριον προγραφὲν τοῦ τόκου σου. Πράγματος ξενοπρεποῦς, τὸ πῦρ ἐνοική-

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

σαν γὰρ ἐν σοὶ τὸ τῆς θεότητος, ἀλώβητόν τε τετήρηκε· διό σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ΄.

Μυστήριον ξένον.

Λαμπρότατον βίον, ἐν γῇ μετερχόμενος, Γαβρὰ Θεόδωρε, ἀσεβῶν βουλεύματα Θεοφρόνως νικήσας, ὅπερ ἐνδόξως παρὰ Θεοῦ, τὴν ἀλουργίδα κομισάμενος, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ὡραῖος ἐν πᾶσιν ἀθλητὰ Θεόδωρε, οὐρανοὺς εἰσέδραμες, ὡς δῶρον εὐπρόσδεκτον τῷ ὑψίστῳ, διὸ μάρτυς καὶ κατ᾽ ἄμφω σε κατέστεψε, Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Γλυκυτάτην δρόσον, ἐξ ὕψους πέμψον ἡμῖν, συμφορῶν καὶ θλίψεων, ῥῦσαι λαὸν εὐσεβῶν, νόσων λοιμοῦ, παντοίας ἀνάγκης καὶ περιστάσεως, οἱ μετὰ πόθου σε δεόμεθα Θεόδωρε, καὶ μεγαλύνομεν.

Θεοτοκίον.

Ἡ ἀπόῤῥητός σου γέννησις παράδοξος, οὐρανὸς ἡ μήτρα σου, θρόνος χερουβικός, Παρθένε Μαρία, ἡ νηδύς σου, ἐν ᾗ ἀνεκλίθη ὁ ἀχώρητος Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν.

Θεόδωρε τρισόλβιε, τῶν Γαβράδων τὸ κλέος, σὺ ἀληθῶς ἐβάστασας τὸν σταυρὸν τοῦ Κυρίου, διὸ καὶ σπεύδων κηρῦξαι, τοῦτον ἔθνεσι πᾶσι, μὴ δειλανδρήσας ὅλως γε τῶν ἀθέων βασάνους ἀλλ᾽ ἐκ πιών, τέλος τὸ μαρτύριον ὥσπερ πόμα, τὴν κεφαλήν σου δέδωκας, ὑπὲρ πάντων πρεσβεύων.

Θεοτοκίον.

Ὁ ἀνατείλας Ἥλιος, ἐκ παστοῦ ὡς νυμφίος, ἀπὸ τοῦ τάφου σήμερον, καὶ τὸν Ἅδην σκυλεύσας, καὶ θάνατον καταργήσας, σὲ τεκούσης πρεσβείας, φῶς ἡμῖν ἐξαπόστειλον, φῶς φωτίζον

καρδίας καὶ τὰς ψυχάς, φῶς βαδίζειν ἅπαντας, ἐμβιβάζων, ἐν τριβοις προσταγμάτων σου, καὶ ὁδοῖς τῆς εἰρήνης.

Εἰς τοὺς αἴνους, στιχ. ἰδιόμελα. Ἦχος πλ. α΄.

Σήμερον λαμπρύνεται ὡς ἔαρ εὐφρόσυνον, ἡ πάνσεπτός σου ἑορτή, ἐν μετοπώρῳ καρδίας ἐκτέρπουσα, τῇ διηγήσει τῶν ἄθλων σου, Μεγαλομάρτυς Θεόδωρε, τὸ αἷμα ὡς μῦρον εὐῶδες ἐξέχεας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ θῦμα εὐπρόσδεκτον αὐτῷ προσήγαγες. Διὸ ὡς εὐσεβείας ἐραστὴς ἐναθλήσας ὑπὲρ τοῦ Κυρίου, καὶ ὡς καλλίνικος παρέστης τῆς ἁγίας Τριάδος. Ὅθεν ἐξ ἀκηράτων ἀνθέων ἐστέφθης παρ᾽ αὐτῆς, καὶ μετὰ Ἀγγέλων ἐν οὐρανοῖς συναγάλλει· ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν, ἅγιε, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Ἦχος δ΄.

Ὑψώσας τὸν νοῦν πρὸς τὸν ὕψιστον, ἐν τῷ ὕψει τῆς ἡγεμονείας καθήμενος, ἐγκατέλιπες τὴν δόξαν τὴν πρόσκαιρον, καὶ τῶν βαρβάρων τὴν ἀθεΐαν διήλεγξας. Διὸ ἐν χιόνι πρηνὴς τυπτόμενος, τὴν γλῶτταν ἀφαιρούμενος, χειρῶν τε καὶ ποδῶν στερούμενος, καὶ ὡς ἡ ἄμπελος τὸ σῶμά σου τεμνόμενος· ὥσπερ στρατιώτης ἀήττητος εἰς οὐρανοὺς ἀνέδραμες, ὡς ἡγεμὼν δὲ δικαιότατος, εἴληφας τὴν χάριν τὴν ἀεὶ διαμένουσαν ὡς δῶρον Θεοῦ, ἀθλοφόρε Θεόδωρε, πρέσβευε Χριστῷ τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Ναὸς γέγονας τοῦ ἁγίου Πνεύματος, ἀθλοφόρε Χριστοῦ, καὶ ἡ παντοδύναμος χάρις εὗροῦσα τὴν ἱεράν σου ψυχήν, θεοφόρε Θεόδωρε. Τὰς βασάνους ὑποστάς, ἀφορήτους ὀδύνας, διέμεινας στερῤῥός, ὥσπερ πάσχοντος ἄλλου, τὰ τραύματα ὡς ῥόδα παρέβλεψας, τὰ ἕλκη ὡς ἄνθη τοῦ παραδείσου εὐωδιάζοντα ἐκ τοῦ σώματός σου ἐξήνθησαν, τὸ αἷμα ὡς μῦρον ἐξέχεας, τὸ εὐωδιάζον πᾶσαν τὴν οἰκουμένην, ἀφορῶν πρὸς τὰ μέλλοντα, πρὸς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΑΝΤΩΝΙΟΣ ΠΑΠΑΣΤΑΜΟΣ

ἔλεον τῶν ἀδελφῶν, καὶ συμπάθειαν ῥέουσαν, τὴν χάριν τῶν ἰαμάτων δαψιλῆ σοὶ ἐχαρίσατο. Ἵνα καὶ τὸ ἔλεον τοῖς δεομένοις ἀφθονώτερον ἐπέδωκας, τοῖς πάσχουσι πάθη ποικίλα θεραπεύεις ἑκάστοτε, καὶ πρεσβεύεις τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλάγ. δ΄.

Ὤφθης φωτισμὸς ἐκ τῆς Ἁγίας Τριάδος, μετ' εὐφροσύνης προσχωρήσας, ὁ Θεὸς δὲ ζώσῃ φωνῇ ἐκάλεσε, τροπαιοφόρε Θεόδωρε. Ὅθεν πρὸς οὐρανὸν βαδίζεις, καὶ εἰς τὸν ἄδυτον γνόφον τοῦ ἀφράστου φωτός, εἰσδύσας νοητῶς ὡς μάρτυς καὶ πρύτανις ἐπόθης τὰ ἀνεκλάλητα ἀγαθὰ τοῦ Θεοῦ, ὡς μαρτυς μὲν φωτιζόμενος, ὡς ποιμὴν δὲ ἱκετεύων ὑπὲρ τὴν ποίμνην σου. Δι' ὃ καὶ ἐν λαμπηδόνι τοῦ παραδείσου οἰκεῖς, καὶ ταῖς χοροστασίαις τῶν Ἀγγέλων συναυλιζόμενος, ὄντως διπλοῦς καὶ τοὺς στεφάνους ὡς ἄνθεσιν ἐκ τῆς ἄνω δόξης ἐνεδύσω, πρεσβεύων πάντοτε Χριστῷ τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα Ἦχος πλάγ. α΄.

Σήμερον, ὡς ἔαρ εὐφρόσυνον, ἐπέλαμψεν ἅπασα ἡ τοῦ Χριστοῦ ἐκκλησία, πανηγυρίζουσα φαιδρῶς, κροτοῦσι δῆμοι ἁγίων, καὶ χοροὶ μαρτύρων ἀγάλλονται· πεφοινιγμένῃ γὰρ τῇ στολῇ τῆς ἡγεμονίας ἐν τῷ αἵματι τῆς ἀθλήσεως, καὶ δι' αὐτῶν αἰωνίως, τῆς ἀθανάτου δόξης ἔτυχον. Ὦ δόξης οὐρανίου! δι' ἧς ἐμεγαλύνθησαν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· νῦν δὲ κατηξιώθη τῆς χορείας, ὁ ἔνδοξος Γαβρὰς Θεόδωρος τῆς Ἄτρας τὸ Θεόβλαστον ἄνθος, τὸ κρῖνον τὸ εὔοσμον, τὸ εὐωδιάζον πᾶσαν τὴν ἐώαν, τῶν μαρτύρων τὸ καύχημα, ὁ προστάτης τῆς ἐκκλησίας, καὶ ὑπέρμαχος τῆς εὐσεβείας· ὡς εὐσεβείας ἐραστὴς ὑπὲρ Χριστοῦ ἐναθλήσας, ὡς ἄνθος εὐῶδες, καὶ ὑπέρλαμπρος προσφέρεται τῷ τρισηλίῳ Θεῷ· οὐκ ἐξ ἀνθέων εὐῶδες ἐκ παραδείσου βλαστάνων, ἀλλ' ἐξ οἰκείων αἱμάτων ὡς μῦρον εὐῶδες διηνθισμένος, καὶ πρεσβεύει αὐτῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Μακαρίζομέν σε.

Δοξολογία μεγάλη· εἰς τὴν λειτουργίαν τὰ τυπικὰ ἐκ τοῦ κανόνος ᾠδὴ γ΄. καὶ ϛ΄. Ἀπόστολ. καὶ Εὐαγγέλιον τοῦ ἁγ. Δημητρίου.

Μεγαλυνάρια.

Ἄνθος ἐκ Χαλδείας φυὲν τερπνόν, ἄθλοις μαρτυρίου, εὐωδίασε νοητῶς, τοὺς πιστοὺς ἐν Ἄτρᾳ Θεόδωρος ὁ θεῖος, πυρὶ τακεὶς τὰς σάρκας, Χριστοῦ τῷ ἔρωτι.

Τοὺς ἀσπαζομένους σου ἀθλητά, τὴν ἁγίαν κάραν, καὶ σεπτὴν εἰκόνα σου εὐλαβῶς, καὶ τὴν θείαν μνήμην, τελοῦντας ἐτησίως, περίσωζε Θεόδωρε ταῖς πρεσβείαις σου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΗΜΗΤΡΙΟΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΗ ΙΓ' ΟΚΤΩΒΡΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΡΕΟΠΑΓΙΤΟΥ

Εἰς τὴν Λιτήν. Ἦχος α'.

Τὸ πετεινὸν τοῦ οὐρανοῦ, τὸ ἄφωνον καὶ πολύφωνον, ὁ οὐρανοβάμων καὶ σοφὸς Διονύσιος, ἀνεφάνη σήμερον ἡμῖν, ὡς ἔαρ εὐφρόσυνον τὴν χαρμόσυνον ἡμέραν, τῆς ἐνδόξου αὐτοῦ μνήμης ἀναγγέλλων. Δεῦτε οὖν πνευματικῶς εὐφραινόμενοι, μελῳδικῶς αὐτὸν ἀνευφημήσωμεν, πρέσβυν πρὸς τὸν Δεσπότην προβαλλόμενοι· ἔχει γὰρ πρὸς αὐτὸν παῤῥησίαν πολλήν, ὡς Ἱεράρχης ἁγιώτατος, καὶ μάρτυς αὐτοῦ καρτερικώτατος.

Ἦχος ὁ αὐτός.

Πάντα τὰ ἐν τῷ βίῳ, ἐμφρόνως καταλιπών, Διονύσιε Παύλῳ, τῷ διδασκάλῳ μᾶλλον δὲ τῷ Χριστῷ ἠκολούθησας· οὗπερ καὶ οὐ θάνατος ἀπειλούμενος, οὐ ζωὴ μετ' εὐδαιμονίας ἐπαγγελλομένη, οὐκ ἄλλο οὐδέν, οὔτε φοβερόν, οὔτε ἡδύ, οὔτε παρόν, οὔτε προσδοκώμενον ἐχώρισεν, ᾧ νῦν τρανώτερον συνημμένος, πρέσβευε ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε.

Ἦχος β'.

Ὁ τρόπῳ τε καὶ ἔργῳ τῷ διδασκάλῳ ἐν πάσῃ ἀπαραμίλλος ἤδη σπεύδεται. Ὡς γὰρ Παῦλος ὑπὸ Νέρωνος, οὕτω καὶ Διονύσιος ὑπὸ Δομετιανοῦ, καρατομεῖται καὶ μαρτυρικῶς πρὸς τὸν ὑπ' αὐτοῦ κηρυττόμενον ἀποδημεῖ, ἡμῖν δ' ἐτησίως ἐπιδημεῖ, συμπαρὼν ἀοράτως, καὶ ἁγιάζων ἡμᾶς.

Ἦχος δ'.

Ὁ τοῦ Ἀρείου Πάγου βουλευτής, μαθητὴς τοῦ Χριστοῦ ἀναδείκνυται, ὁ ἐπὶ τῶν φονικῶν καὶ δι' ὅλου σιωπῶν, ἐπὶ θείων ἀντικαθίσταται μυστηρίων, καὶ τρανῶς τῇ οἰκουμένῃ ταῦτα παρίστησιν· ὅθεν καὶ διδάσκαλος καταλλήλως ἀκούει διδασκάλων, καὶ ποιμὴν ποιμένων, καὶ Παῦλος ἄλλος, ἡ κορυφαῖος· τούτων γὰρ ὁμότροπος κατὰ πάντα γενόμενος, εἰκότως καὶ τῆς κλήσεως ἠξίωτο.

Δόξα ἦχος πλάγ. α'.

Δεῦτε φιλεόρτων τὸ σύστημα, τὸν νοῦν εἰς Ῥώμην ἐπάραντες ἀναχθῶμεν τῇ διανοίᾳ, καὶ θαῦμα κατίδωμεν ὑπὲρ φύσιν καὶ ἐξαίσιον, ἄνθρωπον δίχα κεφαλῆς ἐπὶ πόδας βαίνοντα. ὁ γὰρ πρότερον ἀναιμάκτως τῷ Θεῷ ἱερουργῶν Διονύσιος, ἱερουργεῖται αὐτῷ δι' αἵματος ὕστερον, καὶ τὴν ἱεραν αὐτοῦ κεφαλὴν ἐκτμηθεῖσαν, ὑποθεὶς τὰς χεῖρας, ὥσπερ ἔμπνους, φερομένης ἄνωθεν, δέχεται, καὶ οὐ πρότερον ταύτην ἀνῆκε, πρὶν γυναικί τινι ἀπαντῆσαι, ταῖς ἐκείνης παλάμαις, ὥσπερ θησαυρόν τινα ἐναπέθετο· οὐδὲ γὰρ ἤδει τὸ πάλαι αὕτη τὴν ἐπουρανίων ἀξίαν, διὰ κόνεως φέρεσθαι. Τίς οὖν μὴ ἐξιστάμενος, Δαβιτικῶς ἀνακράζοι ; Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ ;

Καὶ νῦν ὁ αὐτός.

Ὁ Συνάναρχος Πατρὶ καὶ Πνεύματι λόγος, ὁ πρὸ τῶν αἰώνων, καὶ τῶν αἰώνων ποιητής, ἀρχὴν ἐν τῇ νηδύϊ σου τῇ ἁγίᾳ Θεοτόκε Παναγία, λαμβάνει, καὶ ἐν χρόνῳ γίνεται, ὅλως ὢν ἐν Σοὶ ὅλος ἐν τῷ Πατρὶ· ὅλος ἐν τῷ παντί· ὢ μυστηρίου ἀκαταλήπτου ! καὶ τῷ μυστηρίῳ θαῦμα συντρέχει θεοπρεπέστατον καὶ ἀνήκουστον, θεάνθρωπος ἐκ σοῦ προῆλθε καὶ τῆς Παρθενίας σου κλεῖθρα οὐ διέλυσεν, ὡς οὐδ' ὅτε εἰσῆλθε. Τίς εἶδεν, ἢ τίς ἤκουσε τοιοῦτον θαῦμα, μητέρα Παρθένον ; ὄντως ἐν σοὶ Μαριὰμ μεγαλεῖα ὁ δυνατὸς ἐποίησεν· ὃν ὡς υἱόν σου πρέσβευε, ὑπὲρ τῶν πιστῶς θεοτόκον ὁμολογούντων σε.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Εἰς τὸν Στίχον.

Ἦχος πλάγ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ καὶ πρὸ Παύλου τελῶν, τὰ μετὰ Παῦλον, ἀκριβῶς Διονύσιε, τὸν νόμον μυσταγωγοῦντα, πρὸς ἀρετὴν μηδαμῶς, κεκτημένος, νόμος σαυτῷ γέγονας, καλοῦ ἅπαν εἶδος, ἐκγυμναζόμενος οἴκοθεν, ἑτοιμασίαν, ὡς πρὸς τὸ βάπτισμα, εἶναί σου καὶ προοίμιον, τῆς Χριστοῦ ὄντως πίστεως, τοῦτο δὴ τὸ πολίτευμα, καὶ βίον ἐνάρετον, ὡς ἀκριβείας οὐ πόρρω, τῆς καθ' ἡμᾶς θεωρούμενα, ἃ δὴ μετὰ ταῦτα, κατελάμπρυνας, θεόφρον καὶ διὰ πίστεως.

Στιχ. Εἰς πᾶσαν τὴν Γῆν.

Χαίροις ὁ εὐφυὴς τὴν ψυχὴν καὶ πρὸς εὐσέβειαν σαφῶς ἐπιτήδειος, ὑφ' ὧν περ πρὸς θείου λόγου παραδοχὴν κινηθείς, ἀγαθή τις φαίνῃ, ὥσπερ ἄρουσα, ὀξέως τὰ σπέρματα, δεχομένη καὶ φέρουσα, εἰς ἑκατὸν δὴ ἡ πυρὸς σπέρμα οἷά περ, ὁ ἀνήφθητε, εἰς πυρσὸν καὶ μετέδωκεν, ἅπασι φωτισμοῦ αὐτοῦ, καὶ θέρμης φανώτερον, ὑπ' ἀσεβείᾳ ὡς πέτρα, ἑλληνισμοῦ ἐγκρυπτόμενον, πληγῇ τῇ τοῦ λόγου, ἐκραγὲν καὶ ἀναλάμψαν, εἰς κόσμον ἅπαντα.

Στιχ. Οἱ οὐρανοὶ διηγοῦνται.

Σκότος ἐπὶ Σταυροῦ καθορῶν, ἀνηρτημένον, τὸν Θεόν ἐνεδύετο, ὁ ἥλιος τῇ ἐκλείψει, τῇ ὑπὲρ φύσιν σαφῶς, ἣν περ παραδόξως καθυφίστατο· δι' ἧς ἐμαρτύρησε, τὸν θεὸν σαρκὶ πάσχοντα, καὶ θεομάχων τὴν μωρίαν ἐξήλεγξε, καὶ παρέσχετο, σοὶ αὐτῷ Διονύσιε, γέρας τῆς πολιτείας σου, αὐτόπτην γενέσθαι σε, θεοσημείας τοιαύτης καὶ ἀῤῥαβῶνα τῆς ἔπειτα, ἧς υἱοθεσίας, ἠξιώθης διὰ Παύλου μακαριώτατε.

Δόξα τοῦ Μηναίου· καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολογίαν.

Κάθισμα ἦχος πλάγ. δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Θεωρίας εἰς ὕψος ἀναβραμών, καὶ συνέσεως πλοῦτον πεπλουτικώς, Ἑῴας τὰ πόῤῥωθεν, ὡς ἐγγὺς Διονύσιε, τὰς γὰρ παντοίας, πάτερ, αἱρέσεις τὰς ὕστερον, προφητικῶς προεῖδες, καὶ λόγους συντέθεικας· πάσας ἀνατρέπων, καὶ πρὸ τοῦ συσταθῆναι· ὦ πλοῦτος συνέσεως, σοφωτάτης προνοίας τε, τῆς εἰς ἡμᾶς! ὅθεν ἅπαντες τιμῶμέν σε, ἀεὶ χρεωστικῶς, ἑορτάζοντας πόθῳ τὴν μνήμην σου, τὴν λαμπρὰν καὶ σεπτὴν παναοίδιμε.

Δόξα τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Μετὰ τὴν δ΄. στιχολογίαν κάθ. ὅμοιον.

Θεωρίᾳ τὴν πρᾶξιν παραλαβών, φιλανθρώπως τοῖς πλήθεσιν ὁμιλεῖς· τὰ πάντα τοῖς πᾶσι γὰρ κατὰ Παῦλον γεγένησαι, σεαυτὸν τοῖς πᾶσι δουλώσας Μακάριε, ἵνα πάντως σώσῃς αὐτός τε τοὺς πλείονας, ὅθεν καὶ πυροῦσαι τῷ σκανδαλιζομένῳ, παντὶ ἀσθενοῦντι τε ἀσθενεῖς συμπαθέστατα, ἱεράρχα Διονύσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.

Μετὰ τὸν Πολυέλαιον. καθ. ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Ὡς πλάνης ἀντίπαλον καθαιρέτην στερῤῥόν, ἡμῖν σωτηρίας δὲ προνοητήν σε σοφόν, τιμῶμεν γηθόμενοι· δῆλος γὰρ ἐξ ὧν γράφεις, δογματίζων ἐνθέως, τὴν ἀλήθειαν πάτερ, τοὺς Ἑλλήνων δὲ ἄθλους, σκιάν τε τὴν Ἰουδαίαν ἀφανίζων σοφώτατα.

Δόξα. Καὶ νῦν Θεοτοκίον.

Οἱ Ἀναβαθμοὶ τὸ Α΄. ἀτίφωνον : τὸ Εὐαγγελ.

Μετὰ τὸν Ν΄. ἦχος πλ. δ΄.

Πάνσοφε μαθητὰ Παύλου διδασκάλου, καὶ διδάσκαλε ἐθνῶν,

ΕΘΝΙΚΟΝ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

ταῖς ἱκεσίαις σου ἡμᾶς περίσωζε δεόμεθα, ἀπὸ βλάβης παντοίας, παριστάμενος τῷ Θεῷ καὶ Σωτῆρι ἡμῶν, ὡς ἱεράρχης καὶ μάρτυς εὐπρόσδεκτος.

Εἰς τοὺς Αἴνους ἦχος α'.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τῆς πανσθενοῦς δυνάμεως, τῆς ἡμῶν ἀδελφοὶ ὀρθοδόξου πίστεως! τοῦ Παύλου γὰρ ἐμφανῶς, τοῦ ταύτης κήρυκος, σπουδαῖος ὁμιλητὴς ὁ βουλευτὴς Διονύσιος δείκνυται, ὁ ἔξοχος τῶν σοφῶν τοῦ ἰδιώτου τῷ λόγῳ οὐ τρόπῳ δέ, ὑπὲρ λογικὰς μεθόδους, ὡς φησι Βασίλειος, τὴν καρδίαν ἡ πίστις ἕλκει, γὰρ εἰς συγκατάθεσιν.

Βαβαὶ τῆς σῆς θεωρίας σοφέ! οὐρανοῦ γὰρ πύλας διελθὼν ἐν πνεύματι, θεάμων τῶν ἐν αὐτῷ ὁμοῦ ἐκφάντωρ τε, ἐγένου ἐμφαντικός, καὶ διατάκτωρ, θεόφρον· πανάριστος, παρίστησιν ἀκριβῶς τὴν ἐπιστήμην καὶ ὕψος τῶν λόγων σου, ἃ περὶ τῶν θείων, πάτερ ὀνομάτων, ἅμα δέ, τῶν ἀύλων ταγμάτων Διονύσιε ξυντέθεικας.

Τῆς σῆς ἐνδόξου ἀθλήσεως, τὴν ἁγίαν μνήμην, καὶ ἀξιοτίμητον, τιμῶσι χρεωστικῶς, ἱερομάρτυς, πιστοί. Ἑκάστου γὰρ ἐξηγεῖς τῶν ἱερῶν μυστηρίων τὴν δύναμιν, ἀνάγεις πρὸς τούτων δὲ τὴν θεωρίαν ἐνδότερον ἄγουσαν, καὶ προτρεπομένην βλέπειν, ὁρατῶν βαθύτερον, προνοῶν ὑπὲρ πάντων, τῶν πιστῶν φιλανθρωπότατα.

Δόξα ἦχος πλάγ. δ'.

Ἱεραρχῶν τὴν ἀπαρχήν, καὶ ἀθλοφόρων κλέος, τὸν ἐπίγειον ἄγγελον καὶ οὐράνιον ἄνθρωπον, Διονύσιον μακαρίσωμεν, οὗτος γὰρ τῶν κάτω χωρίσας τὸν νοῦν, τοῖς ἄνω περιεπόλευσεν, ὡς Παῦλος, ἁρπαγεὶς καὶ ἄρρητα, ὡς ἐκεῖνος ἤκουσε ῥήματα· καὶ τὰ ὑπὲρ κατάληψιν μεμύηται· ὅθεν καὶ διδάσκαλος ἡμῖν τῶν ἐπουρανίων γεγένηται, καὶ τῶν καθ' ἡμᾶς μυστηρίων ἐξηγητής, εἰς θεωρίας ἀναβιβάζων ὕψος, καὶ θεώσεως, ἧς περ μετέσχε πλήρους. Ἀλλ' ὦ θεία καὶ ἱερὰ κεφαλή, μετὰ πάντων ἁγίων ἐν οὐρανοῖς αὐλιζόμενος, καὶ τῷ θρόνῳ τῆς μεγαλοσύνης παρεστώς, μὴ ἐλλείπῃς ἵλεων ἡμῖν τὸν φιλάνθρωπον ἀπεργαζόμενος.

Δοξολογία Μεγάλη καὶ τὰ λοιπὰ τοῦ Μηναίου.

Μεγαλυνάριον.

Νοῦν τὸ ὑψιπέτην καὶ θεωρόν, τῶν ὑπερκοσμίων, γλῶσσαν ὄντως τὴν λυγηρῶς, ἡμῖν φθεγγομένην, ὀνόματα τὰ θεία, τιμήσωμεν οἱ πάντες τὸν Διονύσιον.

ΤΗΙ 4Η ΟΚΤΩΒΡΙΟΥ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΕΡΟΘΕΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΑΘΗΝΩΝ

Δόξα ἰδιόμελον ἦχος δ'.

Βίον ἔνθεον κατορθώσας, θεωρίᾳ τὴν πρᾶξιν κατελάμπρυνας, θεοφάντορ Ἱερόθεε, τὴν γὰρ σοφίαν φιλήσας ἔρωτι θείῳ, ἐκ στόματος τοῦ πνεύματος τὴν χάριν κατεπλούτισας, καὶ ὡς κηρίον μέλιτος, τὸν γλυκασμόν σου τῶν λόγων ἀποστάξας, ἀεὶ εὐφραίνεις νοήμασι θείοις, τὴν ἐκκλησίαν τοῦ Θεοῦ, διὸ ἐν οὐρανοῖς ἱεραρχικῶς αὐλιζόμενος, ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε τῶν ἐκτελούντων τὴν μνήμην σου.

Καὶ νῦν Θεοτοκίον.

Εἰς τὰ ἀπόστιχα Δόξα. Ἦχος δ'.

Τὸν τῆς σοφίας λόγον σου, καταγλαΐσας ἐν ἀρετῇ ἀπροσίτῳ, περικαλλὴς ἀμφοτέρωθεν γέγονας Ἱερόθεε, ἐν τῇ θεοφθόγγῳ

ΜΑΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΚΡΗΤΗΣ ΓΙΩΡΓΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σου φωνῇ, ὡραΐζων καὶ τέρπων τὸν λαὸν γνωστικῶς τριάδος τὸ ὁμόθεον πανσόφως ἐκτιθέμενος· ὅθεν καὶ ἐν ὀρθοδόξοις δόγμασι, τὰς ἀλλοφύλους αἱρέσεις ἐκπολεμήσας, τὸ κράτος τὸ τῆς πίστεως ἐν τοῖς πέρασιν ἤγειρας, Χριστῷ παριστάμενος, σὺν τοῖς ἀύλοις λειτουργοῖς τὰς ψυχὰς ἡμῶν αἴτησαι, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα εἰς τοὺς αἴνους· ἦχος πλ. α'.

Μακάριος σὺ ἀληθῶς Ἱερόθεε, ἱεράρχα Ἀθηνῶν, καὶ πασῶν τῶν ἐκκλησιῶν διδάσκαλε· ὅτι τὸν μόνον μακάριον ἠγάπησας Θεὸν ἀληθῆ, καὶ τούτου κῆρυξ ἐγένου τὰ πάντα καταλιπών, καὶ σκύβαλα ἡγησάμενος ὑπὲρ τῆς Χριστοῦ ἀγαπήσεως, διὸ καὶ μόνην ἐν σοὶ ἡ μακαρία Τριὰς ἐποιήσατο· ἧς τῇ χάριτι καὶ πρὸ τῆς τελειοποιήσεως ἐλλαμφθεὶς ὡς εἰκὸς τὸν πάσχοντα ἑκουσίως, ὑπὲρ ἡμῶν ἐπὶ σταυροῦ Χριστὸν προέγνως, καὶ προεκήρυξας Θεοῦ εἶναι υἱὸν ὡς ἀληθῶς, ὡς τὴν κτίσιν τούτῳ συμπάσχουσαν· διὸ καὶ ἡμᾶς τῶν ποικίλων παθῶν, ἐλευθέρωσον ταῖς πρεσβείαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Οἱ βουλόμενοι ἑορτάσαι, ζητησάτωσαν τὸ ἴδιόν του φυλλάδιον.

ΤΗΙ 6ῃ ΟΚΤΩΒΡΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΘΩΜΑ

Εἰς τὸν ὄρθρον, κάθισμα ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

Τῷ φόβῳ τῶν Ἑβραίων, κεκρυμμένων τῶν μαθητῶν καὶ ἐν τῇ Σιὼν συνηγμένων, εἰσῆλθες πρὸς αὐτοὺς ἀγαθέ, καὶ ἔστης κεκλεισμένων τῶν θυρῶν, ἐν μέσῳ αὐτῶν χαροποιὸς καὶ ὑπέδειξας αὐτοῖς τὰς χεῖρας, καὶ τῆς ἀχράντου σου πλευρᾶς τοὺς μώλοπας, λέγων τῷ ἀπιστοῦντι μαθητῇ, φέρε τὴν χεῖρά σου καὶ ἐρεύνα, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ διὰ σὲ παθητός.

Δόξα καὶ νῦν· τὸ αὐτό.

Μετὰ τὴν β'. στιχολογίαν.

Τὸν τάφον σου Σωτήρ.

Ἐπέστης ἡ ζωὴ τῶν θυρῶν κεκλεισμένων, Χριστὲ τοῖς μαθηταῖς, καὶ πλευρὰν ὑπεδείκνυς, καὶ χεῖράς σου καὶ πόδας σου, τὴν ἐκ τάφου σου ἔγερσιν, προπιστούμενος, ἀλλ' ὁ Θωμᾶς οὐχ εὑρέθη· ὅθεν ἔλεγεν, εἰμὴ θεάσωμαι τοῦτον οὐ πείθομαι τοῖς λόγοις ὑμῶν.

Δόξα καὶ νῦν· τὸ αὐτό.

Μετὰ τὸν πολυέλαιον κάθισμα.

Ἦχος πλάγ. α'. Τὸν συνάναρχον λόγον.

Τὸν ἀπόστολον πάντες καὶ μαθητὴν τοῦ Χριστοῦ, εὐφημήσωμεν ὕμνοις ἐπὶ τῇ μνήμῃ αὐτοῦ, θεοπρεπῶς γὰρ τὰς ἡμῶν, διανοίας ὁ αὐτός, τούτου τῶν ἥλων ψηλαφῶν, βεβαίαν πίστιν ἐκζητῶν, ἐστήριζεν ἐν Κυρίῳ, ἀδιαλείπτως πρεσβεύων ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὸν ἐκ σοῦ σαρκωθέντα Θεὸν καὶ Κύριον, δι' ἡμᾶς τοὺς φθαρέντας τοῖς ἁμαρτήμασι· τοῦτον ἱκέτευε ἀεί, τοῦ οἰκτειρῆσαι ἡμᾶς, καὶ ἀποστρέψαι τὸν θυμόν, καὶ τὴν ὀργὴν αὐτοῦ σεμνή, ἀπὸ τῶν πίστει βοώντων, καὶ εὐφημούντων ἀπαύστως, τὰ μεγαλεῖά σου τῆς χάριτος.

Οἱ ἀναβαθμοί, τὸ α'. ἀντίφωνον τοῦ δ'. ἦχου τὸ προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Εὐαγγέλιον, κατὰ Ἰωάννην. Ἑωθινὸν θ'. Οὔσης ὀψέας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΓΙΑΝΝΑΚΗ

Εἶτα ὁ Ν.

Δόξα ταῖς τοῦ Ἀποστόλου· καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Τὸ ἰδιόμελον ἦχος δ΄.

Μετὰ τὴν ἔγερσίν σου Κύριε, συνηγμένων τῶν μαθητῶν σου, καὶ τῶν θυρῶν κεκλεισμένων, ἐν μέσῳ ἔστης, εἰρήνην παρέχων αὐτοῖς· πεισθεὶς δὲ καὶ ὁ Θωμᾶς τῇ ὁράσει τῶν χειρῶν, καὶ τῆς πλευρᾶς σου, Κύριον καὶ Θεόν σε ὡμολόγησε, σώζοντα τοὺς ἐλπίζοντας εἰς σὲ φιλάνθρωπε.

Οἱ Κανόνες καὶ τὰ λοιπὰ ζήτει εἰς τὸ Μηναῖον.

Εἰς τοὺς αἴνους τὰ τρία τοῦ Μηναίου. Δευτεροῦντες τὸ α΄.

ΤΩι ΑΥΤΩι ΜΗΝΙ ΟΚΤΩΒΡΙΩι 9

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΙΑΚΩΒΟΥ ΤΟΥ ΑΛΦΑΙΟΥ

Ἀπόστιχα, ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἱερωτάτῃ χορείᾳ, τῶν μαθητῶν τοῦ Χριστοῦ, Ἰάκωβε παμμάκαρ, συνετάγης καὶ ταύτης, ἐπλήρωσας θεόλεκτον ἀριθμόν, δωδεκάδος τρισόλβιε, μεθ' ἧς δυσώπει ἀπαύστως τὸν λυτρωτήν, ὑπὲρ τῶν εὐφημούντων σε.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ῥείθροις ἐνθέου σοφίας περικλυσθεὶς ἀληθῶς, ὡς ποταμὸς εἰρήνης, σὺ ἐξώρμησας μάκαρ, τρυφῆς τοῦ παραδείσου καὶ ταῖς ῥοαῖς τῆς γῆς ἅπαν τὸ πρόσωπον, τῆς εὐσεβείας κατήρδευσας μυστικῶς, διὸ πρέσβευε σωθῆναι ἡμᾶς.

Στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Θεοῦ τὸν ἄναρχον λόγον, καὶ προαιώνιον, τὸν πάντα συντηροῦντα, θείᾳ ἐξουσίᾳ, σὺ ἔσχηκας τῷ ὄντι μυσταγωγόν, ἁπλανῆ παναοίδιμε, διὸ μνημόνευε πάντων ἡμῶν σοφέ, τῶν πιστῶς ἑορταζόντων σε.

Δόξα ἦχος πλ. α΄. ζήτει ἐν τῷ Μηναίῳ.

Εἰς τὸν ὄρθρον κάθισμα· ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Τῆς πίστεως κήρυκα, τὸν μαθητήν σου σωτήρ, τῷ κόσμῳ ἀνέδειξας, καθοδηγῶν δι' αὐτοῦ, τὰ ἔθνη πρὸς γνῶσίν σου, λόγων γὰρ ταῖς ἀκτῖσι κατεφώτισε πάντας, σπόρον τῆς εὐσεβείας, ταῖς ψυχαῖς αὐτῶν σπείρας, αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα τὸ αὐτό· καὶ νῦν. Θεοτοκίον.

Ἐκαίνισας ἄχραντε τῷ θείῳ τόκῳ σου, φθαρεῖσαν ἐν πάθεσι, τῶν γηγενῶν τὴν θνητὴν οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου πρὸς ζωὴν ἀφθαρσίας· ὅθεν σὲ κατὰ χρέος μακαρίζομεν πάντες, παρθένε δεδοξασμένη ὡς προεφήτευσας.

Μετὰ τὴν δ΄. στιχολ. κάθ. ἦχος πλ. α΄.

Τὸν συνάναρχον λόγον.

Ὡς αὐτόπτην τοῦ λόγου, καὶ ὑπηρέτην Χριστοῦ, τὸν ἀπόστολον πόθῳ ἀνευφημήσωμεν, ἐν ᾠδαῖς πνευματικαῖς καὶ ὕμνοις ἅπαντες, τὸν Χριστὸν γὰρ ἐκτενῶς καθικετεύει τῶν πολλῶν, πταισμάτων ἡμῶν τὴν λύσιν, δωρήσασθαι καὶ εἰρήνην, ἡμῖν τῇ πίστει ἀνυμνοῦσιν αὐτόν.

Δόξα τὸ αὐτό· καὶ νῦν. Θεοτοκίον.

Τὸν ἐκ σοῦ σαρκωθέντα Θεὸν καὶ Κύριον, δι' ἡμᾶς τοὺς φθαρέντας τοῖς ἁμαρτήμασι· τοῦτον ἱκέτευε ἀεί, τοῦ οἰ-

ΨΗΦΙΑΚΗ ΑΝΑΠΑΡΑΓΩΓΗ ΑΠΟ ΤΗ ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΥ ΕΛΛΗΝΙΚΟΥ ΛΑΟΓΡΑΦΙΚΟΥ ΚΑΙ ΠΑΡΑΔΟΣΙΑΚΟΥ ΙΔΡΥΜΑΤΟΣ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΓΡΗΓΟΡΗ

κτειρῆσαι ἡμᾶς, καὶ ἀποστρέψας τὸν θυμόν, καὶ τὴν ὀργὴν αὐτοῦ σεμνή, ἀπὸ τῶν πίστει βοώντων, καὶ εὐφημούντων ἀπαύστως, τὰ μεγαλεῖά σου τῆς χάριτος.

Μετὰ τὸν πολυέλαιον κάθ.

Τὴν σοφίαν καὶ λόγον· ἦχος πλ. δ΄.

Τῇ σαγήνῃ τῶν λόγων τῶν θεϊκῶν, τοὺς ἰχθύας ζωγρήσας τοὺς λογικούς, τούτους προσήγαγες, ἀπαρχὴν τῷ Θεῷ ἡμῶν καὶ τοῦ Χριστοῦ τὰ στίγματα, ποθῶν ἐπενδύσασθαι, μιμητὴς τοῦ πάθους, αὐτοῦ πεφανέρωσαι. Ὅθεν συνελθόντες, κατὰ χρέος τιμῶμεν, Ἰάκωβε ἔνδοξε, τὴν πανέορτον μνήμην σου καὶ συμφώνως βοῶμέν σοι. Πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν, τὴν οὐράνιον πύλην.

Μετὰ τοὺς ἀναβαθμούς· τὸ Εὐαγγέλιον τὸν Ν. Δόξα, ταῖς τοῦ ἀποστόλου. Καὶ νῦν, ταῖς τῆς Θεοτόκου.

Τὸ ἰδιόμελον, ἦχος β΄.

Ἰάκωβε ἔνδοξε, καὶ ἀπόστολε Χριστοῦ τοῦ Θεοῦ, ὡς τοῦ Δεσπότου τῷ θρόνῳ παριστάμενος, δεόμεθά σου ἐκτενῶς, πρέσβευων μὴ ἐλλείπῃς, ἡμᾶς βασάνων, καὶ θλίψεων, παντοίων λυτρωθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὰ δὲ λοιπὰ εἰς τὸ Μηναῖον.

Τῷ αὐτῷ μηνὶ Ὀκτωβρίῳ 16 τοῦ ἁγίου μάρτυρος

ΛΟΓΓΙΝΟΥ ΤΟΥ ΕΚΑΤΟΝΤΑΡΧΟΥ

Ὅρα εἰς τὸ ἴδιόν του ψυλλάδιον.

ΤΗ΄ 14Η ΝΟΕΜΒΡΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΦΙΛΙΠΠΟΥ

Εἰς τὸν ὄρθρον κάθισμα ἦχος πλάγ. δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Τὸν βυθὸν τῆς ἀλείας καταλιπών, τοῦ Σταυροῦ τῷ καλάμῳ πάντα σαφῶς, τὰ ἔθνη ἐζώγρησας, ὡς ἰχθύας πανεύφημε, καὶ γὰρ καθώς σοι ἔφη, Χριστὸς ἀναδέδειξαι, ἁλιεὺς ἀνθρώπων, ζωγρῶν πρὸς εὐσέβειαν, ὅθεν κατασπείρας, καὶ τοῦ λόγου τὴν γνῶσιν, τὰ ἔθνη προσήγαγες, τῷ Θεῷ διὰ πίστεως, ἀπόστολε Φίλιππε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα τὸ αὐτό· καὶ νῦν Θεοτοκ. ζήτει εἰς ἦχον πλ. δ΄. ὅμοιον.

Μετὰ τὴν δ΄. στιχολογίαν.

Τὴν σοφίαν καὶ λόγον.

Μυηθεὶς μυστηρίου βάθος Χριστέ, μαθητής σου ὁ θεῖος πᾶσαν τὴν γῆν, Φίλιππος ἐφώτισε, καὶ τὸ σκότος ἐδίωξε, καὶ τοῦ βυθοῦ τῆς πλάνης, τὰ ἔθνη ἐξήγαγε, καὶ πρὸς σωτηρίαν καθωδήγησε πάντας, εἰς πίστιν θεότητος τρισηλίου τὸ σέβεσθαι, πατρὸς υἱοῦ τε, καὶ πνεύματος, ἣν σεπτῶς προσκυνήσωμεν, καὶ θερμῶς ἐκβοήσωμεν, δώρησαι ἡμῖν, ὦ Τριάς, τῶν πταισμάτων ἄφεσιν καὶ ἔλεος, ταῖς λιταῖς τοῦ σοφοῦ θεοκήρυκος.

Δόξα τὸ αὐτό· καὶ νῦν. Θεοτοκίον.

Ὅμοιον εἰς ἦχον πλ. τοῦ δ΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΨΥΧΟΓΕΝΝΑΔΕΙΟΣ ΕΠΙΤΡΟΠΗΣ ΠΑΠΑΣΤΑΤΟΥ

Μετὰ τὸν πολυέλαιον κάθ. ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ λόγον.

Ἐλατὴρ τῶν δαιμόνων ἀναδειχθείς, καὶ φωστὴρ τῶν ἐν σκότει ἀποφανείς, ἔδειξας τὸν ἥλιον ἐκ Παρθένου ἐκλάμψαντα, καὶ ναοὺς εἰδώλων συντρίψας ἀνήγειρας, ἐκκλησίας Μάκαρ, εἰς δόξαν Θεοῦ ἡμῶν. Ὅθεν σε τιμῶμεν, καὶ τὴν θείαν σου μνήμην, πιστῶς ἑορτάζομεν, καὶ συμφώνως βοῶμέν σοι. Ὦ ἀπόστολε Φίλιππε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Μετὰ τοὺς ἀναβαθμούς· ζήτει ἰδιόμελον εἰς τοὺς αἴνους τοῦ ἁγίου Φιλίππου, τὸ ὁποῖον ἄρχεται ἀπὸ ἦχον δ'. « Οὐράνιος ἀνεδείχθης.»

ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ 18

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ

ΛΟΥΚΑ

Εἰς τὸν ὄρθρον, κάθισμα ἦχος γ'.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου.

Λουκᾶ πανάριστε, Παύλῳ συνέκδημον, κεχειροτόνηκεν, ἡ ἐκκλησία Χριστοῦ, ἐνθέως διαλάμποντα, τῇ αὐτοῦ θείᾳ χάριτι, ὅθεν καὶ σοῖς δόγμασιν, ἔθνη πάντα ἐφώτησας, θαύμασι νοσήματα, τῶν ψυχῶν καὶ σωμάτων τε, ἰάτρευσας αὐτῶν, διὸ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα τὸ αὐτό· καὶ νῦν. Θεοτοκίον.

Θεομακάριστε, μήτηρ ἀνύμφευτε, τὴν ἀσθενοῦσάν μου ψυχὴν θεράπευσον, ὅτι συνέχομαι πολλοῖς, ἐν πταίσμασι Θεοτόκε

ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου, δέξαι με πανάχραντε τὸν πολλὰ ἁμαρτήσαντα, ἵνα ἐν παῤῥησίᾳ κραυγάζω σοι, χαῖρε ἡ κεχαριτωμένη.

Μετὰ τὴν δ'. στιχολ. καθισμ. ἦχος ὁ αὐτός· θείας πίστεως.

Πᾶσαν ἤρδευσας, τὴν γῆν τοῖς ῥείθροις, ὡς Ἀπόστολος τοῦ Θεοῦ λόγου, καὶ ἀνεβλάστησεν ὁ στάχυς τῆς πίστεως, καὶ ἐπληρώθη τοῦ κόσμου τὰ πέρατα, τὰ γὰρ ζιζάνια πάντα ἐξέκοψας, τῷ τιμητικῷ εὐαγγελίου κηρύγματι, ὅθεν ἅπαντες Λουκᾶ ἀξιάγαστε, δεόμεθά σου ἐκτενῶς πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Δόξα τὸ αὐτό· καὶ νῦν. Θεοτοκίον.

Θείας φύσεως οὐκ ἐχωρίσθη, σάρξ γενόμενος ἐν τῇ γαστρί σου, ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον μητέρα παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμον, μόνος Κύριος, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὸν πολυέλ. κάθισμα.

Τῇ ὑπερμάχῳ.

Ἀστὴρ ἐφάνης παμφαὴς ἐπὶ γῆς ἐκλάμπων, καὶ τοὺς ἐν ζόφῳ τῶν παθῶν περιαυγάζων· ἰατρὸς δὲ ἀρωγότατος τῶν νοσούντων· ἀλλ' ὡς χάριν εἰληφὼς τὴν τῶν ἰάσεων, τοῖς αἰτοῦσί σε παράσχου πᾶσαν ἴασιν· ἵνα κράζωμεν, χαίροις Λουκᾶ ἀξιάγαστε.

Δόξα καὶ νῦν. Θεοτοκίον.

Μετὰ τοὺς ἀναβαθμούς· τὸ Εὐαγγέλιον· τὸ ἰδιόμελον ζήτει ἐν τῷ Μηναίῳ ιη'. Ὀκτωβρίου. Εἰς ἦχον πλάγ. δ'. ἔνθα ἄρχεται. « Πάνσοφε ἁλιεῦ.»

Ὀκτωβρίου 23 τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου. Ὅρα τὴν ἀκολουθίαν εἰς τὸ ἴδιόν του φυλλάδιον.

ΠΝΕΥΜΑΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΡΟΝΤΟΣ ΠΑΪΣΙΟΥ ΒΟΡΕΙΟΥ ΣΙΝΑΙΤΟΥ

ΝΟΕΜΒΡΙΟΥ 20

ΠΡΟΕΟΡΤΙΑ ΤΩΝ ΕΙΣΟΔΙΩΝ

Εἰς τὸν ὄρθρον, κάθισμα ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀποπληροῦσα τὴν εὐχὴν θεοφρόνως. Ἄννα ἡ σώφρων ἐν ναῷ προσκομίζει, Ἄνναν ζηλοῦσα τὴν πάλαι Σαμουήλ, δάμαλιν τὴν ἄσπιλον, καὶ ἀνύμφευτον νύμφην, ἥτις ἀποτέξεται, μετ' ὀλίγον τὸν κτίστην, παντὸς τοῦ κόσμου, ταύτης οὖν Χριστέ, πρεσβείαις σῶσον ἡμᾶς ὑπεράγαθε.

Δόξα καὶ νῦν.

Ἐπεφάνης σήμερον.

Τὰ λαμπρὰ εἰσόδια, προεορτάζων, κόσμος ἅπας σήμερον, τὰ σὰ πανάχραντε, φαιδρῶς, μετ' εὐφροσύνης κραυγάζει σοι, χαῖρε Μαρία, πιστῶν τὸ διάσωσμα.

Μετὰ τὴν 6'. στιχολογ. ἦχος ὁ αὐτός.

Ταχὺ προκατάλαβε.

Γεννήτορες ἔνθεοι σὲ τὴν γεννήτριαν, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μέλλουσαν ἔσεσθαι ἁγίων εἰς ἅγια ἐθεντό σε· τραφῆναι, εἰς κατοίκησιν κόρη λόγου τοῦ πρὸ αἰώνων, ἐκ πατρὸς γεννηθέντος, διὸ συμφώνως πάντες σε πιστοὶ ἐν ὑμνῳδίαις ἀεὶ μακαρίζομεν.

Δόξα· καὶ νῦν ἦχος γ'.

Ἡ παρθένος σήμερον.

Ἡ παρθένος νῦν ἰδού, ἣν Ἡσαΐας προέφη, κυηθεῖσα ἔρχεται ἐν τῷ ναῷ τοῦ Κυρίου, κόραι οὖν λαμπαδηφόροι, αὐτῆς ἡγοῦνται, πρόοδον τὴν σεβασμίαν, σεπτῶς τιμῶσαι, καὶ ἡμεῖς σὺν τῷ ἀγγέλῳ βοῶμεν χαῖρε, Μαρία μήτηρ Χριστοῦ.

ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ 16

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ

ΜΑΤΘΑΙΟΥ

Εἰς τὸν ὄρθρον· κάθισμα, ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ὁ θεῖος μαθητής, καὶ αὐτόπτης τοῦ λόγου, ἀκτῖσι μυστικαῖς, ταῖς τοῦ Εὐαγγελίου, τὸν κόσμον κατεφώτισε, καὶ τὴν πλάνην κατήργησε, καὶ ἐδίδαξε, ζωὴν πιστεύουσι πᾶσι σωτηρίαν τε, τῆς εὐσεβῶς πειθαρχοῦσι τοῖς θείοις προστάγμασι.

Δόξα τὸ αὐτό· καὶ νῦν· Θεοτοκίον.

Ἐγγίζει ὁ κριτής, ἐπὶ θύραις τὸ τέλος, γρηγόρησον ψυχή, καὶ ἐκ βάθους καρδίας, στενάξασα βόησον τῇ μητρὶ τοῦ Θεοῦ ἡμῶν, ἐλευθέρωσον, τῶν φοβερῶν με βασάνων καὶ ἐν τόπῳ με, τῆς ἀναπαύσεως τάξον, πανάχραντε Δέσποινα.

Μετὰ τὴν 6'. στιχολ. κάθισμα· ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Τελείως κατέλιπες, τῶν ἐπιγείων σοφέ, τὴν σύγχυσιν ἅπασαν, καὶ τελωνίου ζυγόν, φωνῆς ὡς ἀκήκοας, λόγου τοῦ σαρκωθέντος, ἐκ παρθένου Μαρίας τούτου καὶ οἰκονόμος, ἀνεδείχθης καὶ κῆρυξ, τῆς χάριτος αὐτοῦ Ματθαῖε θεόσοφε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΟΠΤΗΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δόξα τὸ αὐτό καὶ νῦν. Θεοτοκίον.

Ταχὺ δέξαι δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ υἱῷ καὶ Θεῷ κυρία, πανάμωμε· λῦσον τὰς περιστάσεις τῶν εἰς σὲ προστρεχόντων, σύντριψον μηχανάς τε, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέως· πάναγνε κατὰ τῶν δούλων σου.

Μετὰ τὸν πολυέλαιον· κάθισμα· ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ὁ πρῶτος τοῦ Χριστοῦ Εὐαγγέλιον γράψας, καὶ πᾶσαν δαδουχῶν, τὴν ὑφήλιον κτίσιν, Ματθαῖος ὁ σοφώτατος, καὶ Χριστοῦ μύστης ἄριστος, νῦν τιμώμενος, ταῖς ἱεραῖς μελῳδίαις, πᾶσιν ἄφεσιν, ἁμαρτιῶν ἐξαιτεῖται τοῖς πόθῳ τιμῶσιν αὐτόν.

Δόξα καὶ νῦν· Θεοτοκίον.

Εἰς τοὺς ἀναβαθμούς· τὸ Εὐαγγέλιον· ὁ Ν. τὸ ἰδιόμελον ἐν τῷ Μηναίῳ· εἰς ἦχον β΄. οὗ ἡ ἀρχή. «Ζυγὸν λιπὼν ἀδικίας.»

Δεκεμβρίου 4.

Ὅρα τὴν πλήρη Ἀκολουθίαν τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ εἰς τὸ φυλλάδιον τοῦ ἁγίου Ἰακώβου τοῦ Ἀδελφοθέου.

ΤΗ῾ 7Η ΔΕΚΕΜΒΡΙΟΥ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΜΒΡΟΣΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΜΕΔΙΟΛΑΝΩΝ

Δοξαστικὸν τῶν κεκραγαρίων ἦχ. α΄.

Οὐ παρὰ ἀνθρώπων παρέλαβες, ἡ ἐδιδάχθης τὸ Χριστοῦ Εὐαγγέλιον, ἀλλ' αὐτός σε ὁ Κύριος ἀπὸ τῶν κριτῶν τῆς γῆς ὥσπερ τὸν Παῦλον προσελάβετο, καταφωτίσας τοὺς νεοροὺς ὀφθαλμοὺς τῆς καρδίας σου· κατ' ἐκεῖνον οὖν ῥίψας ἅπαντα, τὰ τοῦ βίου πλεονεκτήματα, καὶ ἡγησάμενος ταῦτα ὥσπερ σκύβαλα, τὸν Χριστὸν ἐκέρδησας, ᾧ νῦν ἐν παῤῥησίᾳ παριστάμενος, πρέσβευε ὑπὲρ ἡμῶν, Ἱεράρχα Ἀμβρόσιε.

Δοξαστικὸν τῶν Ἀποστίχων· ἦχος πλ. δ΄.

Τὸ σταθερὸν τῆς διανοίας σου, καὶ τοῦ λόγου τὸ ἐμβριθές, τοῦ τρόπου τὸ ἀπροσωπόληπτον, καὶ πάντα τὰ γενναῖα τῆς ἁγίας σου ψυχῆς κινήματα, τὰς μὲν αἱρέσεις, θριαμβεύοντα, εἰς φροῦδον κατέστησαν, τὸν δὲ πιστὸν βασιλέα καταπλήξαντα, εἰς κατάνυξιν ἤγαγον· ὅθεν καὶ παρόντι σοι, τὴν εὐπείθειαν ἐν πᾶσιν, ὡς πατρὶ υἱὸς ἀπένειμε, καὶ ἀπόντι σοι τὸ περιὸν τῆς ἀρετῆς ἐμαρτύρει μεγαλοφώνως, διὸ λαμπρὸς ἐν πᾶσι γενόμενος, μακαρίζῃ εἰς αἰῶνας παμμακάριστε Ἀμβρόσιε.

Εἰς τὸν ὄρθρον κάθισμα· ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Κατὰ παθῶν βασιλεύσας ζῶν, τῆς σαρκός, ἱεράρχης ἐχρίσθης θεοπρεπῶς, τοῦ Κυρίου ἐποίμανας ὀρθοδόξως τὸ ποίμνιον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΓΡΑΤΟΣ

ἀπελάσας θήρας, αἱρέσεων ὅστε, βακτηρίᾳ λόγων, τῶν θείων θεόπνευστε, ὅθεν μετὰ τέλος ἀτελεύτητον, χάριν ἀξίως κεκλήρωσαι, ἱεράρχα Ἀμβρόσιε, διὰ τοῦτο βοῶμέν σοι, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα τὸ αὐτό· καὶ νῦν· Θεοτοκίον· ὅμοιον εἰς ἦχον πλ. δ΄.

Μετὰ τὴν δ΄. στιχ. καθ. ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Φωτοβόλοις λάμψεσιν, ἡ ἐκκλησία τοῦ ἁγίου Πνεύματος, φωταγωγεῖ τοὺς τὴν φαιδρὰν ἐπιτελοῦντάς σου κοίμησιν, ὅστε πάτερ παμμάκαρ Ἀμβρόσιε.

Δόξα τὸ αὐτό· καὶ νῦν· Θεοτοκίον· ὅμοιον εἰς ἦχον δ΄.

Εἰς τοὺς ἀναβαθμούς, τὸ ἐδιόμελον· ἦχος δ΄.

Ὡς ἱερεὺς τοῦ Θεοῦ δικαιοσύνην ψαλμικῶς ἐνδυσάμενος ἀδικίαν ἐμίσησας, καὶ ἄνδρα αἱμάτων ἐν παῤῥησίᾳ πολλῇ διήλεγξας, καὶ πρὸς σωτήριον ὅρμον καθωδήγησας, διὸ ὡς ὅσιος κυρίου, ἀγαλλιάσει εὐφραίνῃ ἐν ταῖς τῶν δικαίων σκηναῖς τὸ θεῖον ἡμῖν ἐξιλεούμενος, ἱερώτατε Ἀμβρόσιε.

Εἰς τοὺς αἴνους, προσόμοια· ἦχ. α΄.

Τῶν οὐρανίων ταγμάτων.

Ἱερωσύνης τοῖς ὅπλοις, πάτερ Ἀμβρόσιε, κοσμούμενος θεόφρον, καὶ τὸν νοῦν θείᾳ δόξῃ λαμπόμενος ὡς μάχαιρα τῶν πιστῶν, ἐστιλβωμένη σὺ δείκνυσαι, ὅθεν συγκόπτεις τὰ θράσει αἱρετικῶν τμητικῶς ἱερομνύστα Χριστοῦ.

Δίς.

Ἐπὶ τῷ κάλει τῶν θείων, μάκαρ δογμάτων σου, φαιδρῶς ἡ ἐκκλησία ὡραΐζεται πάτερ, καὶ πίστει ἀμωμήτῳ καὶ ἀσφαλεῖ, πεποικιλμένη ἐνδείκνυται, καὶ ὡς πλησίον νυμφίου ἐκ δεξιῶν, καλὴ ὅλη νῦν παρίσταται.

Μεμυημένος τρισμάκαρ, πᾶσαν τὴν νόησιν, γραφῆς ὡς ἱεράρχης, τὰ δυσέφικτα πᾶσι, τρανῶς τοῖς ἀγνοοῦσιν αὐτὰ σοφέ, διεσάφησες ἅγιε, ἀλλὰ μὴ ἐλλείπῃς πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἑορταζόντων σε.

Δόξα· ἦχος πλάγ. τοῦ δ΄.

Δαβὶδ μὲν ἐκ τοῦ ποιμνίου, εἰς βασιλέα ἤγειρεν ὁ Κύριος, τὸν Ἀμὼς δὲ ἐκ τοῦ Αἱπολίου, ἐνδυναμώσας διὰ τοῦ πνεύματος, εἰς προφήτην ὕψωσε· σὲ δὲ θεόφρον Ἀμβρόσιε, ἄνδρα ἐπιθυμιῶν τῶν τοῦ πνεύματος, κατα τὸν Δανιὴλ εὑράμενος, ἐκ τῶν βασιλείων, εἰς τὴν τῶν λογικῶν ποιμνίου αὐτοῦ εἵλκυσεν ἐπιμέλειαν, ὅθεν τὸν ζῆλον Ἠλιοῦ τοῦ Θεσβίτου ἀναλαβόμενος, ὡς ὁ Νάθαν τὸν Δαβίδ, οὕτω καὶ σὺ τὸν βασιλέα τοῖς ἐλέγχοις εἰς μετάνοιαν παρεκάλεσας. Διὸ νῦν σὺν προφήταις καὶ δικαίοις ἅπασι συναυλιζόμενος, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δοξολογία Μεγάλη καὶ ἀπόλυσις.

ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΔΕΚΕΜΒΡΙΟΥ 8

ΠΡΟΕΟΡΤΙΑ ΤΗΣ ΣΥΛΛΗΨΕΩΣ ΤΗΣ ΑΓΙΑΣ

ΑΝΝΗΣ

Δοξαστικὸν τῶν κεκραγαρίων ἦχος πλάγ. δ΄.

Τῆς ἀκαρπίας ὁ βλαστός, προκαταγγέλλει σήμερον, ἀγαθῶν τὴν εὐθηνίαν, τῷ γένει τῶν ἀνθρώπων, ἐν τῇ συλλήψει αὐτοῦ, καὶ πάντας συγκαλεῖται πρὸς εὐφροσύνην, τὴν προεόρτιον αὐτοῦ σαφῶς γὰρ μηνύονται νῦν, αἱ ῥίζαι τῆς κατάρας, αἱ ἐκ-

ΕΘΝΙΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

φυεῖσαι τοῖς βροτοῖς ἐν Ἐδὲμ τῇ παραβάσει, ἄρτι ἀνελκύεσθαι· ὅθεν κατὰ χρέος καὶ ἡμεῖς, τὴν παρθενον μακαρίζομεν, ἀναβοῶντες πρὸς αὐτήν· χαῖρε, Μαρία κυριώνυμε, μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ἡ προσδοκία τῶν ἐθνῶν καὶ σωτηρία τῶν πιστῶν, μὴ διαλείπῃς πρεσβεύουσα τῷ σῷ υἱῷ καὶ Θεῷ, ὑπὲρ τῶν πίστει τελούντων, τὴν θείαν σου σύλληψιν.

Εἰς τὸν στιχ. τὰ ἀπόστιχα ἦχος δ'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ἄννης τοὺς στεναγμούς, Θεὸς ὁ παντοκράτωρ, ὑπήκουσε καὶ ταύτῃ, καρπὸν κοιλίας ἄρτι παρέσχε τὴν Θεόπαιδα.

Στιχ. Ἐκέκραξαν οἱ δίκαιοι.

Ἀπόθεσθε Ἀδάμ, καὶ Εὔα πᾶσαν λύπην, ἡ μήτηρ τῆς χαρᾶς γάρ, ἐν στείρᾳ παραδόξως, καρπογονεῖται σήμερον.

Στιχ. Ἀγαλλιᾶσθε δίκαιοι.

Προπάτωρ Ἀβραὰμ καὶ πάντες πατριάρχαι, εὐφραίνεσθε ὁρῶντες, τοῦ Θεοῦ τὴν μητέρα, ἐκ ῥίζης ἡμῶν φύουσαν.

Δόξα· καὶ νῦν· ὅμοιον.

Χορὸς τῶν προφητῶν, ἀγάλλεσθε ἰδοὺ γάρ, Ἄννα καρπὸν ἐκφύει, δι' οὗ αἱ προφητεῖαι, ὑμῶν περαιωθήσονται.

Ἀπολυτίκιον ἦχος δ'.

Σήμερον τῆς εὐσπλαγχνίας Θεοῦ ἡ φανέρωσις, καὶ τῆς ἀπορρήτου οἰκονομίας τὸ προοίμιον· ἡ θεόπαις ἁγνή, τῇ Ἄννῃ καρπὸν δεδώρηται· καὶ νοεραὶ δυνάμεις φαιδρῶς γεραίρουσι· διὸ σὺν αὐταῖς τῇ στείρᾳ ἐκβοήσωμεν, χαῖρε ἡ ἀξιωθεῖσα βλαστῆσαι τὴν μητέρα Θεοῦ.

Δίς.

Εἰς τὸν ὄρθρον· κάθισμα ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Ἡ πύλη ἡ ἄβατος, νῦν ἀποτίθεται, ἡ πόλις ἡ πάμφωτος, λάμψαι προέρχεται, ἡ μόνη πανάχραντος, σήμερον δι' ἀγγέ-

λου, τοῖς δικαίοις δηλοῦται, ὅθεν ἐν εὐφροσύνῃ ἀνεβόων τῷ κτίστῃ καρπὸν ἡμῖν δώρησαι, τὴν ἀφθαρσίας πηγήν.

Δόξα· καὶ νῦν· τὸ αὐτό.

Μετὰ τὴν 6'. στιχολ. κάθισμα. ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Λυθεῖσα Ἄννα τῶν δεσμῶν, ἐπαγάλλεται, τῶν τῆς στειρώσεως· διὸ συναγάλλεται Ἰωακείμ ὁ θεῖος καὶ κλεινὸς καὶ σὺν τούτοις ἅπασα, τῶν ἀνθρώπων ἡ φύσις, φαιδρῶς προεορτάζουσα τὴν χαρμόσυνον ὄντως, σύλληψιν θείαν κόρης τῆς ἁγνῆς, ἣν ἀνυμνοῦμεν, καὶ πόθῳ γεραίρομεν.

Δόξα· καὶ νῦν. τὸ αὐτό.

Μελ. Πολ. **Ἕτερον κάθισμα ἦχος α'.**

Τὸν τάφον σου Σωτήρ.

Ἡ θάλασσα καὶ γῆ, καὶ βουνοὶ καὶ πεδία, ἀγγέλων ἡ πληθύς, καὶ βροτῶν πᾶσα φύσις, εὐφραίνεσθαι σήμερον, Ἄννα σώφρων ἐφθέγγετο, ὅτε ᾔσθετο ἑαυτὴν συλλαβοῦσαν, τὴν ἀλόχευτον, τοῦ Θεοῦ λόγου μητέρα, γεννήσεσθαι μέλλουσαν.

Δόξα· καὶ νῦν· τὸ αὐτό.

Εἰς τὰ ἀπόστιχα ἦχος δ'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Σήμερον προφητῶν, ἀγάλλεται χορεία, αἱ γὰρ αὐτῶν προρρήσεις, ἰδοὺ ἐν τῇ συλλήψει, τῆς Θεοτόκου ἄρχονται.

Στιχ. Ἐκέκραξαν οἱ δίκαιοι.

Χαῖρε Ἰωακείμ, καὶ Ἄννα χαῖρε ὅτι χαρᾶς καὶ σωτηρίας, τὴν πρόξενον τῷ κόσμῳ, καρποτονεῖτε σήμερον.

Στιχ. Ἀγαλλιᾶσθε δίκαιοι.

Συγχάρητε φυλαί, πᾶσαι τῇ στείρᾳ Ἄννῃ, ὅτι καρπὸν κοιλίας, ἐκφύει παρ' ἐλπίδα, ζωῆς ἡμῖν τὴν πρόξενον.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δόξα· καὶ νῦν· ὅμοιον.

Τὰ πέρατα τῆς γῆς, εὐφραίνεσθε ἰδοὺ γάρ, τοῦ κτίστου τῶν ἁπάντων, ἡ μήτηρ ἐξ ἀκάρπου, γαστρὸς φύεται σήμερον.

Τῇ 16ῃ τοῦ αὐτοῦ μηνὸς τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μοδέστου ἀρχιεπισκόπου Ἱεροσολύμων οἱ βουλόμενοι ἑορτᾶσαι ζητήτωσαν τὴν ἰδίαν του φυλλάδα.

ΤΗ῾Ι 17῍Η ΔΕΚΕΜΒΡΙΟΥ

ΤΟΥ̓ ΑΓΙΟΥ̓ ΠΡΟΦΗΤΟΥ̓

ΔΑΝΙΗΛ ΚΑΙ ΤΩΝ ΑΓΙΩΝ ΤΡΙΩΝ ΠΑΙΔΩΝ

Εἰς τὸν ὄρθρον, κάθισμα ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Φυλάξας νόμον εὐσεβῶς, ὦ προφῆτα, τῷ ὄντι ἔγνως τὸν σοφίας δοτῆρα, τὰ μυστικὰ μυοῦντά σε καὶ δύσληπτα, ὅθεν καὶ ἐρχόμενον, τοῦτον ἐπὶ νεφέλης, Δανιὴλ τεθέασαι, ὥσπερ υἱὸν ἀνθρώπου· διὸ δυσώπει οἷά περ κριτήν, ἡμῶν ἐν ὥρᾳ τῆς κρίσεως φείσασθαι.

Δόξα τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Μετὰ τὴν β΄ στιχολ. Κάθισμα ἦχος πλ. α΄.

Τὸν συνάναρχον λόγον.

Ὑπὲρ σαπφείρων λίθων, ὑμῶν τὰ σώματα, ὡραιώθητε παῖδες θεομακάριστοι, καὶ δροσιζόμενοι καμίνου μέσον ᾄδετε, αἶνον οἱ τρεῖς χαρμονικῶς, τὸν παγκόσμιον· διό, πρεσβεύσατε τῷ Κυρίῳ ὑπὲρ ἡμῶν τῶν τελούντων, ὑμῶν τὴν μνήμην τὴν σεβάσμιον.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον εἰς τὸν αὐτὸν ἦχον.

Μετὰ τὸν πολυέλαιον ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τῇ θείᾳ χάριτι τὸν νοῦν φωτιζόμενος, θεαστικῶς ὁ Δανιὴλ ὁ σοφώτατος, Αὐτοκρατόρων τὰ ἐνύπνια διέλυσεν, ὅλως ἐνδεικνύμενος, φωτοφόρος καὶ θεῖον σοφίας καταγώγιον, νικητής τε τυράννων, καὶ βασιλέων, ὅθεν καὶ ἡμεῖς, τὴν τούτου μνήμην, τιμῶμεν γηθόμενοι.

Δόξα καὶ νῦν τὸ παρόν. Θεοτοκίον ὅμοιον.

Λίθον ἐξ ὄρους προορᾷ, τῆς παρθένου τμηθέντα πάλαι Δανιὴλ ὁ προφήτης, ἄνευ χειρὸς σὲ λόγε καὶ εἰδώλων τοὺς βωμούς, ἅπαντας συντρίβοντα, καὶ ἀρχὰς βασιλέων, καὶ εἰς χοῦν λεπτύνοντα σοῦ τῇ θείᾳ σαρκώσει· διὸ πρεσβείαις τῆς τεκούσης σε Χριστέ, ἡμᾶς παντοίων, δεινῶν ἐλευθέρωσον.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄. ἦχου.

Στιχ. Μὴ ἅπτεσθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

Εὐαγγέλιον προφητικόν. Δόξα ταῖς τοῦ Προφήτου.

Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον ἦχος δ΄.

Δανιὴλ ὁ φιλωτὴς θηρῶν ἀγρίων καὶ οἱ τρεῖς παῖδες χορείαν σεπτὴν συστησάμενοι Χριστὸν ὑμνοῦσι σήμερον.

Δοξαστικὸν τῶν αἴνων ἦχος πλ. δ΄.

Ἡ πλουσίως παρὰ Θεοῦ, ἐκχυθεῖσά σοι χάρις, Δανιὴλ θεόπνευστε, τοὺς πρεσβυτέρους τῶν ἑβραίων διήλεγξε· τοὺς βασιλεῖς τῶν ἐθνῶν ἐξέπληξε, τοὺς σοφοὺς Βαβυλῶνος κατήσχυνε· τῶν Περσῶν τε καὶ Μήδων τὰ βδελύγματα ἠφάνισε, τοὺς ἀπατεῶνας ἐξωλόθρευσε· τῶν λεόντων στόματα ἔφραξε, προφήτην ἀεροβάτην ἀνέδειξε· τοῖς τοῦ κόσμου τὰ ἐν κόσμῳ γενησόμενα προεδήλωσε, τοῖς δὲ πιστοῖς, ἀμφοτέρων τὰ μυστήρια,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΒΟΗΘΗΤΩΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

τῶν ἐπιφανειῶν τοῦ σωτῆρος Χριστοῦ, σαφέστατα προεκήρυξε· Διόπερ νῦν ἐν τῇ πρώτῃ αὐτοῦ παρουσίᾳ, προϋπαντῶντες αὐτῷ διὰ τῆς σῆς πανηγύρεως, αἰτοῦμέν σε πρεσβεύειν ἀεὶ ὑπὲρ ἡμῶν, ἵνα ἀξιωθείημεν, ὑπαντῆσαι αὐτῷ ἐν νεφέλαις, ἐν τῇ δευτέρᾳ φρικτῇ ἐλεύσει αὐτοῦ·

Καὶ νῦν· ἦχος ὁ αὐτός. Ὑπόδεξαι Βηθλεέμ.

Δοξολογία Μεγάλη κτλ τοῦ Μηναίου.

ΔΙΑΤΑΞΙΣ ΕΙΣ ΤΗΝ ΤΟΥ

ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ

Κατὰ τὴν πέμπτην ὥραν τῆς νυκτὸς ἠχούντων τῶν κωδώνων κατέρχεται ὁ Πατριάρχης μεθ' ὅλου τοῦ κλήρου εἰς τὸν ναόν, καὶ εὐλογῶν, ἀνέρχεται ἐπὶ τοῦ θρόνου. Εὐλογητοῦ δὲ γενομένου ἄρχεται ἡ λιτὴ καὶ τὰ λοιπὰ τοῦ ὄρθρου ὡς ἐξῆς.

Μετὰ τὸ «Θεὸς Κύριος» τὸ τροπάριον τῆς Γεννήσεως (τρὶς) στιχολογεῖται τὸ ψαλτήριον, εἶτα ψάλλονται τὰ καθίσματα, ἐκτὸς τοῦ πρώτου, ἤτοι τοῦ «Δεῦτε ἴδωμεν πιστοί,» ὅπερ ψάλλεται ἐν τῷ εἰκείῳ χρόνῳ. Ἔπειτα ψάλλεται ὁ Πολυέλαιος «Δοῦλοι Κύριον» καὶ ψαλλομένου τούτου λαμβάνουσι καιρὸν οἱ ἱερεῖς καὶ ἱεροδιάκονοι καὶ ἐνδύονται τὰς ἱερατικὰς αὐτῶν στολάς. Εἰσέρχεται τότε καὶ ὁ Πατριάρχης εἰς τὸ ἱερὸν βῆμα, καὶ λαμβάνουσιν οἱ Ἀρχιερεῖς καιρὸν παρ' αὐτοῦ· ἐνδύεται δὲ καὶ ὁ Πατριάρχης ἅπασαν τὴν Ἀρχιερατικὴν στολήν, μετὰ τῶν περὶ αὐτοῦ Ἀρχιερέων καὶ μετὰ τὸ τέλος τοῦ Πολυελαίου ἐξερχόμενοι οἱ ἱερεῖς καὶ ἱεροδιάκονοι τῆς ὡραίας πύλης ἵστανται στιχηδὸν ἔνθεν καὶ ἔνθεν μέχρι τῆς νοτίου θύρας τοῦ ἁγίου σπηλαίου, εὐθὺς δὲ ἄρχεται ὁ Πατριάρχης ψάλλων τὸ προηγουμένως καταλειφθὲν πρῶτον κάθισμα ἀργῶς καὶ μετὰ μέλους.

Κατὰ τὸ κατεπλάγη Ἰωσήφ.

Δεῦτε ἴδωμεν πιστοί, ποῦ ἐγεννήθη ὁ Χριστός, «ἀκολουθήσωμεν λοιπόν, ἔνθα ὁδεύει ὁ ἀστήρ, μετὰ τῶν Μάγων Ἀνατο-

»λῆς τῶν βασιλέων Ἄγγελοι ὑμνοῦσιν, ἀκαταπαύστως ἐκεῖ. »Ποιμένες ἀγραυλοῦσιν, ᾠδὴν ἐπάξιον, Δόξα ἐν ὑψίστοις λέ»γοντες, τῷ σήμερον ἐν Σπηλαίῳ τεχθέντι, ἐκ τῆς Παρθένου, »καὶ Θεοτόκου ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.

Ὅπερ καὶ ἐπαναλαμβάνεται (τρίς).

Εἰς πάσας δὲ τὰς τοῦ Χριστοῦ ἐκκλησίας μὴ ὑπάρχοντος τοῦ ἁγίου Σπηλαίου, ὁ ἀρχιερεὺς ἢ ὁ πρόεδρος, μετὰ τοῦ κλήρου αὐτοῦ ἐνδυόμενοι τὰς ἱερατικὰς στολάς, καὶ μετὰ τὴν αἴτησιν τοῦ πολυελαίου ἐξερχόμενοι τῆς ὡραίας πύλης, καὶ ἱστάμενοι κατὰ τάξιν ἔνθεν καὶ ἔνθεν ψάλλοντες τὸ «Δεῦτε ἴδωμεν πιστοὶ» καὶ βαδίζοντες πρὸς τὸ βόρειον τῆς ἐκκλησίας πρὸς δυσμὰς ἔνδον αὐτῆς ποιοῦντες ἕνα κύκλον, καὶ ἀπὸ δυσμῶν πρὸς ἀνατολὰς εἰσέρχονται ἐν τῷ μέσῳ τῆς ἐκκλησίας, προηγουμένως εὐτρεπιζομένου μὲ χρυσὴν ποδιὰν τοῦ τετραποδίτου καὶ τιθεμένης ἐπάνω αὐτοῦ τῆς εἰκόνος τῆς Γεννήσεως, ἕως ὅτου τελειόσωσι τὸ «Δεῦτε ἴδωμεν πιστοί.» Εὐθὺς δὲ θυμιῶν ὁ πρόεδρος τὴν εἰκόνα τῆς Γεννήσεως σταυροειδῶς κύκλῳ ψάλλουσι τό: «Ὦ Θεὲ τῶν ὅλων.» Τὰ δὲ λοιπὰ τροπάρια ψάλλονται μετὰ τοῦ στίχου αὐτῶν· «Δόξα ἐν ὑψίστοις Θεῷ κτλ.»

Ὦ Θεὲ τῶν ὅλων, πῶς ἐτέχθης βρέφος! ἐν σπηλαίῳ σὲ ὁρῶντες οἱ ἄγγελοι ἔλεγον δόξα ἐν ὑψίστοις Θεῷ.

(Ἐκ τρίτου)

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη κτλ.

Ἡ ζωὴ ἐν φάτνῃ, ἀνεκλίθης Χριστέ, καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο, συγκατάβασιν δοξάζουσαι τὴν σήν.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Μεγαλύνομέν σε, Ζωοδότα Χριστέ, καὶ τιμῶμεν τὴν ἁγίαν σου γέννησιν, δι' ἧς ἔσωσας ἡμᾶς ἐκ τῆς φθορᾶς.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ κτλ.

Μεγαλύνομέν σε, Ἰησοῦ Βασιλεῦ, ἐν τῇ φάτνῃ τῶν ἀλόγων ἀνέκεισο, τῶν ἀνθρώπων ἀλογίαν καταργῶν.

ΕΘΝΙΚΟΝ ΑΘΗΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ κτλ.

Ἰησοῦ Χριστέ μου, καὶ σωτήριον φῶς, πῶς σπηλαίῳ σκοτεινῷ φῶς ἐξήστραψας; ὦ ἀφάτου καὶ ἀῤῥήτου ἀνοχῆς!

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ἰησοῦ μου Σῶτερ, βασιλεῦ τοῦ παντός, ἦχθης ἐν Βηθλεὲμ σπηλαίῳ παρώκησας, ἵνα σώσῃς ἡμᾶς ἐκ τῆς ἀρᾶς.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ὦ βουνοὶ καὶ Νάπαι, καὶ ἀγγέλων πληθύς, ἄσατε ὕμνους καὶ πάντα δοξάσατε, σὺν ἡμῖν τὴν γέννησιν Ἐμμανουήλ.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Οὐρανὸς ὡς ἄλλος, ἀνεδείχθη ἡ γῆ, δεξαμένη τὴν ἁγίαν σου γέννησιν, καὶ ἡ πόλις Βηθλεὲμ Ἰησοῦ.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ὁ ὡραῖος κάλλη, παρὰ πάντας βροτούς, ἐν Βηθλεὲμ ὡς βρέφος καταφαίνεσαι, ὁ τὴν φύσιν ὡραίσας τοῦ παντός.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ἄνθος εἶ τὸ θεῖον, τὸ εὐῶδες παντί, ἐν Βηθλεὲμ Σῶτερ ὡς ῥόδον ἤνθησας, ἵνα φέρῃς σωτηρίαν τὸν καρπόν.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ὦ χαρίτων βρύσις, ὦ θαυμάτων πηγή! ὡς ἀμέτρητον γὰρ ἔχων τὸ ἔλεος, μὴ ἐλλείπῃς κατοικτειρῆσαι ἡμᾶς.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Προσκυνοῦμεν λόγε, σὲ τὸν πάντων Θεόν, σὺν πατρί, καὶ τῷ Ἁγίῳ σου Πνεύματι, καὶ δοξάζομεν τὴν θείαν σου γέννησιν.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ κτλ.

Σπηλαίῳ κατῆλθες, ἐπὶ γῆς τὸν Χριστόν, κυήσασα ὡς βρέφος θεόνυμφε, ἵνα σώσῃ ἐκ θανάτου τοὺς βροτούς.

Στάσις Β'.

Ἄξιόν ἐστιν.

Ἄξιόν ἐστιν μεγαλύνειν σε τὸν ζωοδότην, καὶ ἐν Βηθλεὲμ φάτνῃ ἀνακλίνεσαι, ἵνα λύσῃς ἀλογίαν τῶν βροτῶν.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ἄμπελος, Θεέ, μεγαλόδωρος ἀεὶ ὑπάρχεις, πέμψασα ἡμῖν τὸν βότρυν τὸν πέπειρον, τὸν εὐφραίνοντα ἡμᾶς τοὺς εὐσεβεῖς.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ἵστατο πληθύς, καὶ ἐξίστατο πᾶσα Ἀγγέλων, βλέποντες βρέφος τὸν Θεὸν τὸν ἀπρόσιτον, προσιόντα τῇ μητρὶ Θεοπρεπῶς.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Σῶτερ τοῦ παντός· μεγαλύνειν σε ἡ κτίσις πᾶσα ἐν σπηλαίῳ γαρ ἐτέχθης ὡς ἄνθρωπος, ἐκ τῆς Παρθένου σάρκα εἰληφας Θεέ.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Φόβῳ καὶ χαρᾷ, καὶ ἡμεῖς ὥσπερ οἱ μάγοι τότε, ἐν Βηθλεὲμ καθορῶντές σε ἄναρχε, καὶ ἐκπληττόμενοι τὴν γέννησιν τὴν σήν.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Θάμβος ἀληθῶς, πῶς ἡ ἄνανδρος θηλάζει βρέφος! πῶς δὲ ἐν σπηλαίῳ τὸν πλάστην ἔτεκεν! ἡ Μητρόθεος ἐκτὸς διαφθορᾶς.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ἐκθαμβοι ἰδόντες, οἱ ποιμένες τὸ φῶς σοῦ Χριστέ μου, ἐν σπηλαίῳ ὡς βρέφος τικτόμενον, καὶ ἔλαμψες ὡς ὁ Ἥλιος τὸ φῶς.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Κόλπον πατρικῶν, ἀνεκφοίτητος μείνας οἰκτίρμων, καὶ ὄντως βροτὸς γενέσθαι ηὐδόκησας, καὶ ἐν φάτνῃ ἀνακλίνεσαι Χριστέ.

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Νεῦσον καὶ ἡμῖν, οὐρανόθεν τοῖς ἐν γῇ Χριστέ μου, καὶ κατάπεμψον τὸ ἄπειρον ἔλεος, τοῖς τιμῶσί σου τὴν θείαν γέννησιν.

Στιχ Δόξα ἐν ὑψίστοις Θεῷ.

Ἄναρχε Θεέ, συναΐδιε λόγε καὶ Πνεῦμα, σκῆπτρα τῶν ἀνάκτων κραταίωσον, κατὰ πολεμίων ὡς ἀγαθός.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Τέξασα ζωήν, παναμώμητε Ἁγνὴ Παρθένε, παῦσον ἐκκλησίας τὰ σκάνδαλα, καὶ βράβευσον εἰρήνην ὡς ἀγαθή.

Στάσις Γ'.

Εἰς ἦχον γ'.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον Γενεθλίων, προσφέρομεν τῷ τεχθέντι.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Δεῦρο πᾶσα κτίσις, ὕμνους Γενεθλίους, προσοίσομεν τῷ τεχθέντι.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Σὺν νόων μυριάσι, κατῆλθεν ὁ Θεός μου, ἐν σπηλαίῳ γεννᾶται.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Οὐράνιαι δυνάμεις, ἐξέστησαν τῷ φόβῳ, τεχθέντα καθορῶσαι.

Στιχ Δόξα ἐν ὑψίστοις Θεῷ.

Ὦ φρικτὸν καὶ ξένον, θέαμα Θεοῦ λόγε, πῶς σπήλαιόν σε ξενίζει.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ἀνέτειλας Χριστέ μου τὰ πέρατα τοῦ κόσμου, τῇ σῇ ἁγίᾳ γεννήσει.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Σκιρτῶσιν αἱ καρδίαι, τῶν εὐσεβούντων πάντων, ἐπὶ τῇ σῇ γεννήσει.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ἀξίωσον Θεέ μου, χαρᾶς ἀνεκλαλήτου, τοὺς ὀρθοδόξους πάντας.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Δόξα σοι Θεέ μου, δόξα τῇ σῇ γεννήσει, δόξα καὶ τῇ σῇ ἐλεύσει.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ.

Δοξάζω σε Θεέ μου, καὶ προσκυνῶ τὸ θεῖον, τῆς σῆς γεννήσεώς σου.

Στιχ. Δόξα ἐν ὑψίστοις Θεῷ

Δοξάζω τὸν Πατέρα, ὑμνῶ δὲ τὸν Υἱόν του, καὶ προσκυνῶ τὸ Πνεῦμα.

Δόξα πατρί.

Ὦ Τριάς, Θεέ μου, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον.

Καὶ νῦν.

Ἰδεῖν τὴν τοῦ Υἱοῦ σου Ἀνάστασιν Παρθένε, ἀξίωσον τοὺς δούλους.

Αἴτησις, καὶ ἐκφώνησις. «Ὅτι σὸν τὸ κράτος».

Τὸ Ἐξαποστειλάριον.

Ἐπεσκέψατο ἡμᾶς ἐξ ὕψους ὁ Σωτὴρ ἡμῶν... καὶ εὐθὺς Δοξολογία Μεγάλη.

Εἶτα ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν.

Τὸ πρῶτον ἀντίφωνον τοῦ δ. ἤχου.

Στιχ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου.

Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν κτλ.

Τὸ πᾶσα πνοή. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς.

Ὁ Πατριάρχης ἀναγινώσκει τὸ Εὐαγγέλιον, κατὰ Λουκᾶν· «Ἐν ἔτει πέντε καὶ δεκάτῳ».

Ὁ Ν'. ψαλμός.

Δόξα πατρὶ ἦχος δ'. «τὰ σύμπαντα σήμερον»· καὶ νῦν τὸ αὐτό. Εἶτα στιχ. Ἐλέησόν με ὁ Θεός. Καὶ ψάλλεται τὸ ἰδιόμελον ἦχος πλ. δ'.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, σήμερον δέχεται, κτλ.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ἐλέησον ἡμᾶς ὁ Θεός.
Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).
Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν Ἀρχ.
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης κτλ.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονήν.
Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Κύριε ἐλέησον ἐκ τρίτου.

Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ Σωτὴρ κτλ.

Καὶ εὐθὺς ἄρχεται ἡ λιτανεία ψάλλοντες τό: «Χριστὸς Γεννᾶται».

Τοὺς Εἱρμοὺς τῆς Α΄. καὶ Γ΄. ᾠδῆς καὶ Μεγ. Δοξολογίαν.

Μετὰ τὴν λιτανείαν εἰσερχόμεθα εἰς τὴν ἐκκλησίαν ψάλλοντες τό: «Τίς Θεὸς Μέγας».

Καὶ ἄρχεται ὁ κανὼν τῆς ἑορτῆς κατὰ τὴν τάξιν τοῦ Μηναίου κτλ.

ΤΗΙ 26Η ΙΑΝΟΥΑΡΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΞΕΝΟΦΩΝΤΟΣ

ΚΑΙ ΤΗΣ ΣΥΝΟΔΙΑΣ ΑΥΤΟΥ

Εἰς τὰ κεκραγάρια.

Δόξα ἦχος δ΄.

Ἀνέτειλεν ἡμῖν σήμερον, ὡς ἄλλος ἥλιος ἡ μνήμη τοῦ Ξενοφῶντος τοῦ θαυμασίου, ἔχει δὲ παρανατέλλοντας, Ἰωάννην καὶ Ἀρκάδιον, τοὺς ἐξ αὐτοῦ λαμπροτάτους ἀστέρας, τὸ τῆς ἐκκλησίας καταφαιδρύνοντας στερέωμα· καὶ γὰρ ἐν ἑαυτοῖς μηδὲν πρόσγειον σχόντες ἀποσκίασμα, ἀλλὰ μετεωροποροῦντας τῇ τοῦ Πνεύματος χάριτι, περὶ τὸ τρισήλιον κατέπαυσαν φῶς,

καὶ τούτου ἤδη καθαρῶς ἐμφορούμενοι, ἐκεῖθεν ἡμῖν ἀκτῖνας τῶν χαρισμάτων μετοχετεύουσι· καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν τῶν ἀνυμνούντων αὐτούς.

Εἰς τὰ ἀπόστιχα.

Δοξαστικὸν ἦχος δ΄.

Ἐν νόμῳ Κυρίου τὸ θέλημα τὸ σόν, ἐπεστήριξας Ξενοφῶν ὁσιώτατε, καὶ τοὺς ἐκ σοῦ διαγωγήσας ἐννόμως, ἀνάλωτοι τοῖς πειρασμοῖς ὡς ἀδάμαντες ἐφάνητε, καὶ ἀνενδότοις ἀγῶσι τὸ κατ' εἰκόνα ἀλώβητον ἐτηρήσατε· ὅθεν καὶ ἐπὶ γῆς ἀγγελικῶς τὸν βίον διανύσαντες, τοῖς ἀγγέλοις ἐν οὐρανοῖς συνήφθητε· μεθ' ὧν ἀκατάπαυστον τὸν ὕμνον τῷ Θεῷ προσφέρετε, καὶ πρεσβεύετε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τοὺς Αἴνους.

Δοξαστικὸν ἦχος πλ. α΄.

Τίς μὴ θαυμάσει τὸν ἰσάγγελον βίον ὑμῶν πατέρες ὁσιώτατοι, τὸ χεῖρον γὰρ τῷ κρείττονι καθυποτάξαντες· θεοειδεῖς γεγόνατε θείῳ φωτὶ ἐλλαμπόμενοι, καὶ ναὸς θεοῦ ἐγνώσθητε· ὅτι ὁ Χριστὸς σὺν Πατρὶ καὶ Πνεύματι μονὴν ἐν ὑμῖν ἐποιήσατο. καὶ χαρισμάτων θείων ἀνέδειξε καταγώγια· διὸ καὶ χάριτας προχέετε τοῖς τιμῶσι τὰ ἱερὰ ὑμῶν λείψανα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΤΡΩΝ ΚΑΙ ΠΑΤΡΑΣΙΝΩΝ ΣΥΛΛΟΓΗ

ΤΗ 12Η ΦΕΒΡΟΥΑΡΙΟΥ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΜΕΛΕΤΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΑΝΤΙΟΧΕΙΑΣ ΤΗΣ ΜΕΓΑΛΗΣ

Εἰς τὰ κεκραγάρια.

Δόξα ἦχος δ΄.

Διέπρεψας ὅσιε, Ἱερομῦστα ἐπιφανῶς κληρωσάμενος ἔνδοξε τὸν θρόνον τοῦ Πέτρου χειροτονηθέντος παρὰ Χριστοῦ, Ἱερώτατε Μελέτιε, οὗπερ καὶ τὸν τρόπον ἐζήλωσας, τὸν Σωτῆρα Χριστόν, υἱὸν θεοῦ τοῦ ζῶντος δοξάζων, ταῖς ἐκείνου διδαγαῖς ἑπόμενος. Ὅθεν καὶ διήλεγξας, τοῦ Ἀρείου τὸ ἄθεον, καὶ πάντων τῶν αἱρετιζόντων, τὸν τρόπον τὸν κακόδοξον, σαφῶς βδελυξάμενος, ὀρθοδόξῳ φρονήματι. Τῶν δὲ πιστῶν τὴν ὁμήγυριν, τοῖς τῆς εὐσεβείας δόγμασιν ἐστήριξας, καὶ ἐν τούτοις μένειν προσέταξας, ὡς τῶν Ἀποστόλων ὁμότροπος· ἀλλὰ καὶ νῦν Χριστομίμητε, μὴ παύσῃ στηρίζων τὴν ποίμνην σου, τὴν πόθῳ τιμῶσάν σε, καὶ τὴν μνήμην σου γεραίρουσαν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν· Θεοτοκίον.

Εἶτα τὰ ἀπόστιχα ἦχος δ΄.

Ὡς γενναῖον ἐν μάρτυσι.

Φωτισθεὶς πάτερ ὅσιε, ὑπὸ θείας ἐλλάμψεως, λόγον τὸν συνάναρχον, ἀνεκήρυξας, μονογενῆ τε καὶ ἄκτιστον, αἰώνιον πέλοντα, ἐξ ἀνάρχου τοῦ πατρός, τοὺς Ἀρείου συμμάχους τε καὶ ὁμόφρονας, σὺ φραξάμενος θείᾳ παντευχίᾳ τοῦ Κυρίου, Ἱεράρχα, τούτους εἰς τέλος συνέχεας.

Στιχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται.

Ὁ ἐν κόλποις καθήμενος, τοῦ πατρὸς λόγος πάνσοφε, συμφυὴς καὶ σύνθρονος τῷ γεννήτορι, σὲ προχειρίζεται κήρυκα, τῆς θείας γεννήσεως, ἑαυτοῦ ὡς μαθητῶν, γεγονότα Μελέτιε σὲ ὁμότροπον, μεθ' ὧν πρέσβευε μάκαρ τῷ Κυρίῳ, ὑπὲρ τῶν ἀνευφημούντων, τὴν σὴν πανίερον κοίμησιν.

Στιχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Παρεστὼς παναοίδιμε, τῷ δεσπότῃ ὁλόφωτος, τῷ φωτὶ τῆς γνώσεως, καταφώτισον, τὰ ζοφερὰ ἡμῶν ὄμματα, ψυχῶν καὶ ἀπέλασον τὴν ἀχλὺν σαῖς προσευχαῖς, τῶν παθῶν ἡμῶν ἅγιε, τῶν τιμώντων σε, κατὰ χρέος Μελέτιε τρισμάκαρ, καὶ τὴν μνήμην σου τελούντων παντοίων νόσων ἀπάλλαξον.

Δόξα ἦχος πλ. δ΄.

Ὅσιε τρισμάκαρ, ἁγιώτατε Πάτερ, διανύσας ἐπὶ γῆς, τοὺς εὐαγεῖς ἀγῶνάς σου καὶ τὸν κάλλιστον δρόμον, τοῦ Εὐαγγελίου τελέσας, καὶ τὴν πίστιν τὴν ὀρθόδοξον, πανευσεβῶς ἐκδιδάξας, δικαιοσύνης τὸν στέφανον παρὰ τοῦ πάντων δημιουργοῦ, θεηγόρε ἐδέξω· ὕμνους ἐξ ὕμνων προπεμπόμενος, διδασκάλων συνόδῳ παμμακάριστε Μελέτιε· διό σου καὶ ἡμεῖς, τὴν σεβάσμιον πανήγυριν, πιστῶς ἐκτελοῦντες, σὲ πρέσβυν προβαλλόμεθα θερμότατον πρὸς Κύριον τοῦ ἐξελέσθαι ἡμᾶς, ἐκ παντοίων κινδύνων, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν ὄρθρον κάθισμα ἦχος [illegible]. δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τῷ πρώτῳ κάλλει ἀνεκράθης θεσπέσιε, καὶ αἴγλῃ τούτου ἀληθῶς συμμορφούμενος, καὶ πυρσωθεὶς ταῖς θείαις ἀστραπαῖς κατὰ μετουσίαν τε γεγονὼς φῶς τρισμάκαρ, ἅπασαν ἐφαίδρυ-

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΜΑΝΟΛΗΣ ΓΕΩΡΓΙΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ

νας, ἐκκλησίαν θεόφρον, τῆς εὐσεβείας ἀναφαίνων φωτισμόν, τοῖς μετὰ πόθου καὶ πίστεως προστρέχουσι.

Δόξα τὸ αὐτό· καὶ νῦν. Θεοτοκίον.

Μετὰ τὴν ϛ΄. στιχολ. κάθισμα· ἦχος δ΄.

Ὁ ὑψωθείς.

Δι' ἀρετῶν τοῖς τοῦ Χριστοῦ ἀποστόλοις, ὁμοιωθεὶς τὴν αὐθεντείαν καὶ θρόνον, σὺ ἐκληρώσω μάκαρ προφανῶς, τὸν ἐκείνων ἔνδοξε, στύλος τῆς εὐσεβείας, γενόμενος Μελέτιε καὶ τῆς ὀρθοδοξίας, διό Σου πόθῳ πάντες τὴν σεπτήν, μνήμην τελοῦντες τιμῶμέν σε.

Δόξα τὸ αὐτό· καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Μετὰ τὸν πολυέλαιον· κάθισμα· ἦχος πλ. α΄.

Τὸν συνάναρχον λόγον.

Ἐνιδροῦντα καμάτους, πνευματικοὺς ἀνδρικῶς, καὶ προθύμως εἰσέτι, μάκαρ μαχόμενον, πνευματομάχους καθορῶν σε, τὸ πανάγιον πνεῦμα προσέλαβε σοφέ, καὶ στεφανῶσαν ἀριθμεῖ, ταῖς ἄνω χοροστασίαις, ἀξίως ὡς νικητήν σε, θεομακάριστε Μελέτιε.

Δόξα· καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Μετὰ τοὺς ἀναβαθμούς· τὸ ἰδιόμελον. « Ὅσιε πάτερ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμ. κτλ.»

Εἰς τοὺς αἴνους ἦχ. α΄.

Τῶν οὐρανίων ταγμάτων.

Ἁγιοσύνης ὑπάρξας, παμμάκαρ τέμενος, καθαγιάζεις πάντας, τοὺς σπουδάζοντας πάτερ, ὀνόματι τιμίῳ καλεῖσθαι τῷ σῷ, ἱεροφάντα Μελέτια, καὶ τὴν σεπτήν σου εἰκόνα σχέσει σοφὲ τῇ πρὸς σὲ διαχαράττοντας.

(Δίς).

Τὴν σὴν ἐφώτισας μνήμην, μυσταγωγίαις σεπταῖς νῦν δὲ

τῶν πρωτοτόκων, ηὔξησας ἐκκλησίαν, γενόμενος προσθήκη ταῖς μυστικαῖς, ἱερουργίαις ἐλλάμψεσιν, ἐκ τοῦ αἰῶνος τρισμάκαρ μεθ' ὧν καὶ νῦν, τὸν σωτῆρα καθικέτευε.

Δύναμιν ἄπειρον μίαν, τὴν ἐν πατρὶ καὶ υἱῷ καὶ Πνεύματι ἁγίῳ καὶ θεότητα μίαν, καὶ μίαν βασιλείαν περιφανῶς, σέβειν μάκαρ ἐδίδαξας, ἐν ὑποστάσει ἑκάστῃ τε ἀσφαλῶς, ἰδιωμάτων τηρουμένων ἀεί.

Δόξα· ἦχος δ΄.

Εὐγενείᾳ ψυχῆς καὶ φαιδρότητι, καὶ σταθερᾷ θεοσεβείᾳ, καὶ γνώμῃ τῇ πανάγνῳ, Θεοφάντορ Μελέτιε, πάντας ὑπερῆρας, τῆς κακοδαίμονος αἱρέσεως, νεμομένης ἀτόπως, καὶ ὁλικῇ προθυμίᾳ καὶ πίστει ὀρθοδόξῳ, τοὺς ἀρειόφρονας ἔνδοξε, καταστρεψάμενος ἅπαντας, τὸ κράτος ἐκύρωσας, ἀνακηρύττων ἡμῖν, ἕνα Θεὸν ἐν Τριάδι, διὸ καὶ τοὺς τιμῶντάς σε, παντὸς κινδύνου ἐλευθέρωσον, καὶ βασιλείας οὐρανῶν, ἀξίωσον ἅγιε, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Καὶ νῦν.

Ἐκ παντοίων κινδύνων.

Δοξολογία Μεγάλη καὶ τὰ λοιπὰ τοῦ Μηναίου.

Μαρτίου 25.

Ἀρχαῖον κοντάκιον τοῦ Εὐαγγελισμοῦ.

Ἦχος πλαγ. δ΄. Τῇ ὑπερμάχῳ.

Τὸν ὁμοούσιον Πατρὶ καὶ θείῳ Πνεύματι, Υἱὸν καὶ λόγον τοῦ Θεοῦ ἀγνὴ συνέλαβες, τῇ τοῦ Πνεύματος ἐλεύσει τοῦ Παναγίου, εἰς ἀνάπλασιν βροτείου γένους ἄχραντε, Ἀρχαγγέλου σοι φωνὴν κοσμοχαρμόσυνον, ἐκβοήσαντος· χαῖρε Νύμφη ἀνύμφευτε.

ΕΘΝΙΚΟΝ ΑΝΑΓΝΩΣΤΗΡΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΕΥΑΓΓΕΛΙΣΤΡΙΑΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΑΠΡΙΛΙΟΥ 25

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ

ΜΑΡΚΟΥ

Εἰς τὸν ὄρθρον κάθισμα· ἦχος α΄.

Τὸν συνάναρχον λόγον.

Εἰς τὴν σύμπασαν κτίσιν, μάκαρ ὁ φθόγγος σου, ἐξελήλυθε Μάρκε, καὶ εἰς τὰ πέρατα, τῆς οἰκουμένης ἀληθῶς τὰ θεῖα ῥήματα, τὴν ὑπὲρ λόγον γὰρ ἡμῖν, εὐηγγελίσω προφανῶς, εἰρήνην ἐμφανισθῆναι, διὰ σαρκὸς ἐν τῷ κόσμῳ, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Δόξα τὸ αὐτό· καὶ νῦν τῆς ἑορτῆς.

Μετὰ τὴν δ΄. στιχολ. κάθ. ἦχος πλ. δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Σὲ τὴν σοφίαν τοῦ πατρὸς ἀνεκήρυξε, τὴν ἐνυπόστατον, ταῖς σαῖς αὐγαζόμενος, μαρμαρυγαῖς τῷ κόσμῳ ἐν παντί, τὴν ζωὴν παρέχουσαν, τοῖς βροτοῖς καὶ εἰρήνην, καὶ καταφωτίζουσαν, πάντα ἄνθρωπον σῶτερ, ὁ σὸς θεράπων Μάρκος ὁ σοφὸς οὗπερ ταῖς λιταῖς, σῆς βασιλείας ἡμᾶς καταξίωσον.

Δόξα τὸ αὐτό· καὶ νῦν τῆς ἑορτῆς.

Μετὰ τὸν πολυέλ. κάθισμα, ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Φωτισμῷ τῶν λόγων σου, τὴν Αἰγυπτίων ἀσεβείας ἄνοιαν διώξας Μάρκε πρὸς τὸ φῶς, θεογνωσίας ὡδήγησας, τούτους θεόφρον, διὸ σὲ γεγαίρομεν.

Δόξα· καὶ νῦν τῆς ἑορτῆς.

Τὸ Α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου. Τὸ Εὐαγγέλιον κτλ. Ἰω 15. Εβ. Μαθθαιου

Εἰς τοὺς αἴνους. Δόξα ἦχος πλάγ. α΄.

Τὸ ῥεῖθρον τὸ ἀείῤῥυτον τῆς σοφίας σου δεξάμενος Χριστέ, Μάρκος ὁ αὐτόπτης σου, ὡς ποταμὸς ῥιζῶν γῆς ἐπέκλυσε, φωτὶ θεογνωσίας τὰ πέρατα, ἀληθῆ σου ὑπάρχουσαν, τὴν προῤῥήσιν δεικνύς, οὗπερ τὴν ἐτήσιον μνήμην, σήμερον πιστῶς πανηγυρίζοντες, δεόμεθά σου ἐκτενῶς, τοῦ καταπέμψαι δι' αὐτοῦ, φωτισμὸν καὶ ἵλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν τῆς ἑορτῆς.

ΤΗ΄ 27 ΑΠΡΙΛΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΣΥΜΕΩΝ

ΣΥΓΓΕΝΟΥΣ ΤΟΥ ΚΥΡΙΟΥ

Εἰς τὰ κεκραγάρια. Δόξα ἦχος α΄.

Ἱερομάρτυς ἔνδοξε, Συμεὼν ἱερώτατε, ὡς ὄρθρος τοῖς ἐν σκότει, ἀνέτειλας ὑποδεικνύων τοῖς ἀνθρώποις, δικαιοσύνης τὸν Ἥλιον ἐκ κόρης παρθένου ἀνατείλαντα· ἡ πόλις δὲ Σιὼν ποιμένα καὶ διδάσκαλον σὲ ἔσχηκεν, ἣν καὶ ἐφώτισας, σοῦ τοῖς ἐνθέοις διδάγμασι, καὶ μαρτυρίου ὕστερον, λαμπηδόσιν ἀπήστραψας, πάθος τὸ θεῖον ἐκμιμούμενος, τοῦ διδασκάλου σου Χριστοῦ· σταυρικῷ γὰρ θανάτῳ ἐκδημήσας πρὸς αὐτόν, σὺν τούτῳ δεδόξασαι· διὸ ὡς ἱεράρχης αὐτοῦ καὶ συγγενής, σὺν τῷ συγγόνῳ ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τῆς ἑορτῆς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εἰς τὰ ἀπόστιχα, ἦχος δ΄.

Ὡς γενναῖον ἐν μάρτυσι.

Ποταμὸν ὥσπερ ἄλλον τε, ἐξ Ἐδὲμ πορευόμενον, Συμεὼν κατέχουσα, νῦν ἀγάλλεται, ἡ ἐκκλησία ναμάτων σε, πλησθέντα τοῦ πνεύματος ζωηρρύτων καὶ τρανῶς, ἐγκαυχᾶταί σοι ἔνδοξε, ὡς συσείσαντι, τοὺς βωμοὺς τῶν εἰδώλων καὶ εἰς δόξαν, ἀναγείραντι κυρίου σεπτοὺς ναοὺς Ἱερώτατε.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν.

Ἱερεῖον ὡς ἄμωμον, σεαυτὸν Σίμων ἔνδοξε, τῷ πυρὶ ἐκδέδωκας τῶν κολάσεων, ὁλοκαυτοῦσθαι Ἀπόστελε, φίλτρῳ πυρπολούμενος, τῷ τοῦ κτίστου σου σοφέ, εὐωδία γενόμενος μυστικὴ αὐτοῦ, διὸ πρέσβευε πάντας μυστολέκτα, τοὺς τιμῶντάς σου τὴν μνήμην, πυρὸς ῥυσθῆναι κολάσεως.

Στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν.

Συγγενῆ κατὰ χάριν σε, Θεὸς λόγος προσείληφε, τῆς ἁγίας πόλεως, Ἱεράρχην τε, σεπτὸν καὶ μάρτυρα τίμιον, δεικνὺς δὲ πανόλβιε, τῶν δαιμόνων τὰ γλυπτά, παντελῶς ἀφανίσαντα, ἐνισχύων σε τῷ αὐτοῦ θείῳ σθένει, ὃν δυσώπει, ὑπὲρ τῶν μακαριζόντων, τὴν σὴν πανίερον ἄθλησιν.

Δόξα, ἦχος πλαγ. δ΄.

Σίμων Συμεὼν τρισόλβιε, ὁ τοῦ σωτῆρος συγγενής, ἐναντίον ἀθέων ἐθνῶν, τὸν διπλοῦν τῇ φύσει Χριστόν, θεολογήσας τρανῶς, διπλῆν τὴν κλίσιν ἔσχες, καὶ σταυρῷ προσομιλήσας, τὴν γῆν ἡγίασας, τῇ ἐνδόξῳ ἀθλήσει σου, καὶ ψυχαὶ τῶν δικαίων, ἀγαλλιῶνται τῇ ἀνόδῳ σου· ὅθεν καὶ ἡμεῖς ἀνευφημοῦντες, τὴν θείαν σου ἄθλησιν πιστῶς δεόμεθά σου ἐκτενῶς, μὴ διαλείπῃς ἱκετεύων, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε, τῶν πολλῶν ἁμαρτημάτων, λυτρωθῆναι ἡμᾶς καὶ θλίψεων παντοίων, καὶ δεινῶν περιστάσεων.

Καὶ νῦν τῆς ἑορτῆς.

Εἰς τὸν ὄρθρον· κάθισμα, ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ψυχῆς τὸ ἱλαρόν, τῆς καθαρᾶς σου αὐτόπτα, προσκλήσεως τῆς σῆς, ὁραθὲν τῷ Δεσπότῃ ἐφάνης ἀξιόληπτος, αὐτῷ Σίμων θειότατε, καὶ γεγένησαι οἰκονομίας τῆς τούτου, μύστης ἄριστος, διὸ αὐτὸν ἐκδυπώπει, ὑπὲρ τῶν εὐφημούντων σε.

Δόξα τὸ αὐτό· καὶ νῦν τῆς ἑορτῆς.

Ἐξαποστειλάριον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Ἐν τῷ σταυρῷ πηγνύμενος, Συμεὼν ἱεράρχα, καὶ μιμητὴς γενόμενος, πάθους τοῦ σωτηρίου, ἐθελοντὶ παρέδωκας, σαυτὸν προθύμως ἔνδοξε, βασάνοις ταῖς πικροτάταις, μαρτυρίου στεφάνῳ λάμπεις, διὸ μνήμην τὴν σεβάσμιόν σου τελοῦντες, σὲ πρέσβυν προβαλλόμεθα, πρὸς Χριστὸν τὸν Σωτῆρα.

Εἶτα τῆς ἑορτῆς.

Εἰς τοὺς αἴνους ἦχος δ΄.

Ὡς γενναῖον ἐν μάρτυσι.

Τῷ ἱστίῳ πτερούμενος, τοῦ σταυροῦ παμμακάριστε, αὔραις ταῖς τοῦ πνεύματος, πλάνης κλύδωνα, σοφῶς παρέδραμες ἅγιε, Χριστοῦ δὲ ἠξίωσαι, κατὰ σάρκα συγγενής, τοῦ γενέσθαι σε ἔνδοξε τοῦ πτωχεύσαντος, ἑκουσίως καὶ σάρκα προσλαβόντος ἐκ Παρθένου ἡμᾶς σῶσαι, πυρὸς γεέννης ὡς εὔσπλαγχνος.

Δίς.

Παραδόξων ἐλλάμψεων, σὺ τῶν θείων μεμύησαι, τὰ πρὸς θείαν ἅγιε ὁδηγοῦντά σε, ζωὴν καὶ δόξης ἀνάπλεως, ἀῤῥήτου γενόμενος, ἱεράρχα Συμεών, νῦν οἰκεῖς τὰ οὐράνια, σὺν τοῖς μάρτυσιν, Ἀποστόλοις καὶ θείοις Πατριάρχαις, καὶ ὁσίοις ἱκετεύων, ὑπὲρ ἡμῶν τὸν φιλάνθρωπον.

Τῷ Θεοῦ φίλτρῳ ἔνδοξε, σὺ φλεχθεὶς τὴν διάνοιαν, πυρὸς δυνατώτερος, ἐχρημάτισας, προδοὺς βασάνοις τὸ σῶμά σου, προ-

ΕΘΝΙΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΣΤΡΑΤΟΥ ΕΠΙΜΕΛΗΤΗΡΙΟΝ

θύμως θεσπέσιε, ὑπὲρ πόθου τοῦ Χριστοῦ, ὃν καὶ νῦν ἐκδυσώπησον, τοῖς ὑμνοῦσί σε, τῶν πταισμάτων τὴν λύσιν ἡμῖν δοῦναι, καὶ τρυφῆς καταξιῶσαι τοῦ παραδείσου πανόλβιε.

Δόξα ἦχος δ'.

Τῇ καθαρᾷ καρδίᾳ σου Συμεὼν σὺ δεξάμενος, τοῦ παρακλήτου τὴν αὐγήν, τὸ ἀφεγγὲς τῶν δαιμόνων, σκότος ἐξηφάνισας καταφωτίζων τοὺς πιστοὺς ῥοαῖς τῶν θείων σου διδαχῶν· καὶ δεινῆς κακοπιστίας, θάλασσαν ἀποξηράνας, ἅπασαν ψυχὴν κατήρδευσας· καὶ πᾶσι κηρύττων τρανῶς, τὸν λόγον τοῦ πατρός, Θεὸν ἀληθέστατον, ποικίλους πόνους ὑπέμεινας, καὶ ἐν τῷ ὕψει ἀναβὰς τοῦ σοῦ σταυροῦ, πρὸς ὃν ἐπόθεις ἐξεδήμησας· ὃν περ καθικέτευε, ὑπὲρ ἡμῶν ἀδιαλείπτως, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τῆς ἑορτῆς.

ΤΗ῀ 30Η̃ ΑΠΡΙΛΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΙΑΚΩΒΟΥ

ΑΔΕΛΦΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

Ἀπόστιχα ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Λόγος ὁ συνάναρχος, πρὸ τῶν αἰώνων καὶ σύνθρονος, τῷ Πατρὶ ὢν καὶ Πνεύματι, καὶ ὑπερτελὴς Θεός, ὡς ἄνθρωπος ὤφθη, ἐπὶ γῆς δι' ἄκραν, φιλανθρωπίαν σαρκωθείς, ἐκ τῆς Παρθένου, σὲ ἀναδείκνυσιν Ἰάκωβε, Ἀπόστολον, καὶ ὑπηρέτην πανάριστον, συνεργόν τε τῆς χάριτος, ὑπ' αὐτοῦ δυναμούμενον.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Ψυχῆς τὴν εὐγένειαν, νενοηκώς σου Ἰάκωβε, ὁ προγνώστης Θεὸς ἡμῶν, καὶ τῆς διανοίας σου, τὸ στερρὸν θεόφρον, σὲ τοῖς ὑπηρέταις, καὶ Ἀποστόλοις τοῖς αὐτοῦ, προκεκριμένως μάκαρ ἐνέταζεν, ἔθνεσι καταγγέλλοντα, αὐτόν, διὸ τοὺς τὴν μνήμην σου, ἐκτελοῦντας εὐώδωσον, πρὸς Χριστοῦ τὰ θελήματα.

Στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν.

Ζήλῳ πυρακτούμενος, ὥσπερ Ἠλίας Ἰάκωβε, τοὺς τῷ σῷ ἀπειθήσαντας, κηρύγματι ἔνδοξε, καταφλέξαι ἄρδην, ἠθέλησας μύστα, ἀλλ' ὁ Χριστὸς ὁ θελητής, τῆς εὐσπλαγχνίας σε διεκώλυσε, τὸ πρᾷόν τε τῆς χάριτος, ὡς μαθητὴν ἐκδιδάσκων σε, ἑαυτοῦ, διὸ πρέσβευε, ὑπὲρ τῶν εὐφημούντων σε.

Εἰς τὸν ὄρθρον· κάθισμα ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Μὴ φέρων Σὺ ὡς πρίν, τοῦ Δεσπότου σου μάκαρ, τοὺς ὄντως φονευτάς, καὶ κακούργους ἰδεῖν σε, τὰς πράξεις ἐκφαυλίζων γάρ, τὰς αὐτῶν παναοίδιμε, ἀγωγῆς τῆς σῆς, τῇ παραθέσει αὐτόπτα, σὺ διήλεγξας, ὅθεν μαχαίρᾳ ἀδίκως, ἑβραῖοι σὲ ἔκτειναν.

Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς.

Μετὰ τὴν δ'. στιχολογίαν ἦχος πλ. α'.

Τὸν συνάναρχον λόγον.

Τὸν Δεσπότην σου πόθῳ θερμῷ ἠγάπησας, καὶ αὐτῷ σὺ προθύμως κατηκολούθησας, καὶ λαμπρυνθεὶς τῷ φωτισμῷ τῷ τούτῳ ἔνδοξε, πᾶσι φῶς δεύτερον φωτὸς τοῦ πρώτου ὤφθης μαθητά, διὸ ψυχὰς τῶν ὑμνούντων, τὴν σὴν σεβάσμιον μνήμην, θεομακάριστε ἐκλάμπρυνον.

Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΧΟΛΗ ΘΕΟΛΟΓΙΑΣ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓΙΟΥ ΠΑΠΑΣΤΑΜΑΤΟΥ

Μετὰ τὸν πολυέλαιον κάθ. τὸν συνάναρχον λόγον.

Θεῖος κῆρυξ Ἰάκωβε, Χριστοῦ γέγονας, κληθεὶς θᾶττον γὰρ τούτῳ, σὺ ἠκολούθησας, παριδὼν τὴν πατρικὴν σχέσιν πανένδοξε, καὶ ἀμειψάμενος σοφῶς, τῶν αἰωνίων τὰ ῥευστά, τῆς κληρουχίας παμμάκαρ, ἠξίωσαι τῆς ἀφράστου, διὸ ἡμῶν ἀεὶ μνημόνευε.

Δόξα καὶ νῦν, τῆς ἑορτῆς.

Μετὰ τοὺς ἀναβαθμ. τὸ Εὐαγγέλιον καὶ τὸ ἰδιόμ. ἦχος δ'.

Ὡς ὑπέσχου Ἰάκωβε, τὸ ποτήριον ἔπιες, τοῦ Δεσπότου Χριστοῦ, καὶ τὸ τούτου βάπτισμα θεομακάριστε ἐβαπτίσω, διὰ τοῦτο καὶ στέφει σέ, τῆς βασιλείας αὐτοῦ, Χριστὸς ὁ Κύριος καταγλαΐζει, ᾧ καὶ νῦν παριστάμενος, μὴ διαλείπῃς ἱκετεύων ὑπὲρ ἡμῶν τῶν τιμώντων σε, καὶ εὐφημούντων πανένδοξε.

ΤΗΙ 7Η ΜΑΪΟΥ

ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΟΥΡΑΝΩ ΦΑΝΕΝΤΟΣ ΣΗΜΕΙΟΥ

ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ

Εἰς τὰ ἀπόστιχα ἦχ. δ'.

Ἔδωκας σημείωσιν.

Σήμερον ἐξέλαμψε, φωτοειδὴς ὑπὲρ Ἥλιον, ὁ Σταυρός σου ὁ τίμιος, Χριστὲ στηριζόμενος, ἐν κρανίου τόπῳ, τῷ δεδοξασμένῳ σταυροτυπούμενος φωτί, ἐπὶ τὸ ὄρος σου τὸ πανάγιον, δηλοῖ ἐμφαντικώτατα, ὡς δι' αὐτοῦ παντοδύναμε, τὴν ἡμῶν φύσιν ὕψωσας, οὐρανοῖς ὡς φιλάνθρωπος.

Στιχ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριόν σου.

Ἀνήγγειλαν σήμερον, οἱ οὐρανοὶ ἀκατάληπτε, τοῖς ἀνθρώποις τὴν δόξαν σου, φαιδρῶς ἐξαστράψας γάρ, τοῦ Σταυροῦ ὁ τύπος, φέγγει ἀπροσίτῳ, τὴν μανιώδη καὶ σκληράν, τῶν θεοκτόνων γνώμην διήλεγξε, διό σου τὴν φιλάνθρωπον, οἰκονομίαν δοξάζομεν Ἰησοῦ παντοδύναμε, ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Σταυρὸς ὁ πανάγιος, τὸ ἀκατάληπτον τρόπαιον, ἐν αἰθέρι ὁρώμενον, σήμερον φῶς ἄπλετον, ἐπ' ὄρει ἁγίῳ, ἐκπέμπει πλουτίζων, τὴν οἰκουμένην ταῖς αὐγαῖς, τῆς παγκοσμίου αὐτοῦ χρηστότητος, διὸ τὴν ὑπερθαύμαστον, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ παντοδύναμε, ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα· ἦχος πλαγ. δ'.

Φωτολαμπὴν ἀστέρων τύπος προεδείκνυε σταυρέ, τρόπαιον νίκης εὐσεβεῖ ἄνακτι τῷ πάνυ, οὗ ἡ μήτηρ Ἑλένη ἀνευραμένη, κοσμοφανῆ πεποίηκε· σήμερον δὲ πάλιν ἐν ἀέρι σὲ διαγραφόμενον, ὑπὸ φωτὶ ἑωρακότες ἁπλέτῳ, τῶν πιστῶν χορεῖται κραυγάζομεν, φώτισον ἡμᾶς τῇ ἐλλάμψει σου, σταυρὲ φωτοφόρε, ἁγίασον ἡμᾶς τῇ σῇ χάριτι, ζωηφόρε σταυρὲ καὶ πανσέβαστε, καὶ κράτυνον ἡμᾶς τῇ ἰσχύϊ σου, σημειούμενος πρὸς παράταξιν ἐχθρῶν.

Καὶ νῦν τῆς ἑορτῆς.

Εἰς τὸν ὄρθρον· κάθ. ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Τὸ φῶς τῶν ψυχῶν ἡμῶν, νῦν καθορῶντες Χριστέ, σταυρόν σου τὸν ἄχραντον, καὶ προσκυνοῦντες χαρᾷ, φαιδρῶς ἐκβοῶμέν σοι· δόξα σοι ὁ ἐν τούτῳ ὑψωθῆναι θελήσας, δόξα σοι ὁ φωτίσας, δι' αὐτοῦ πᾶσαν κτίσιν, ἐνῷ σὲ ἀκαταπαύστως ὕμνοις δοξάζομεν.

Δόξα τὸ αὐτό· καὶ νῦν τῆς ἑορτῆς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΧΟΛΗ ΘΕΟΛΟΓΙΚΗ ΑΡΙΣΤΟΤΕΛΕΙΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Μετὰ τὴν 6'. στιχολογέαν κάθ. ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

Τοῦ Σταυροῦ σου τὸν τύπον προσκυνοῦμεν φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων· παράδεισον ἠνέῳξας σωτήρ, τῷ πίστει προσελθόντι σοι λῃστῇ καὶ τρυφῆς κατηξιώθη, ὁμολογῶν σοι, μνήσθητί μου Κύριε, δέξαι ὥσπερ ἐκεῖνον καὶ ἡμᾶς κραυγάζοντας ἡμάρτομεν, πάντες τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς.

Δόξα τὸ αὐτό· καὶ νῦν τῆς ἑορτῆς.

Μετὰ τὸν πολυέλαιον κάθισμα. Τὸν συνάναρχον λόγον.

Τὸ πανάγιον σκῆπτρον τοῦ βασιλέως Χριστοῦ, ἀναλάβωμεν πίστει, ἐπὶ τῶν ὤμων ἡμῶν, καὶ τοῦ βίου τὰ τερπνὰ ἀπορρίψωμεν, ὃ οἱ πάλαι βασιλεῖς, ἀναλαμβάνοντες πιστῶς, ἐνίκησαν πολεμίους, καὶ φύλα τὰ τῶν βαρβάρων, τῇ δυνάμει τούτου ἀνέτρεψαν.

Δόξα καὶ νῦν, τῆς ἑορτῆς.

Οἱ ἀναβαθμοί.

Στιχ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτ.

Εὐαγγέλιον.

Δόξα ἦχος 6'.

Σύ μου σκέπη κραταιὰ ὑπάρχεις ὁ παμφαὴς σταυρὸς τοῦ Χριστοῦ ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει καὶ πόθῳ, προσκυνῶ καὶ δοξάζω σε.

Καὶ νῦν τὸ αὐτό· τὸ ἰδιόμελον ἦχος πλ. 6'.

Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δόξαν σου Κύριε, τὸ φοβερὸν τοῦ σταυροῦ σημεῖον· καὶ ἡ γῆ ἅπασα μετὰ φόβου προσεκύνησεν, ἡμεῖς δὲ δοξολογοῦντες καὶ ἀνυμνοῦντές σε βοῶμεν, Θεὸς ὢν ἀπαθής, σαρκὶ παθεῖν δι' ἡμᾶς ἑκουσίως κατεδέξω· διὸ σῶσον λαόν, ὃν περιεποιήσω οἰκείῳ αἵματι.

Εἰς τοὺς αἴνους ἦχος πλ. δ'.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, τὸ φωτοφόρον φυτόν, ὁ σταυρὸς ὁ πανάγιος, ἀφ' ὕψους αἰθέριος, ἐμφανίζεται σήμερον, δοξολογοῦσι, πάντα τὰ πέρατα, ἐκδειματοῦνται, δαίμονες ἅπαντες, ὃ οἷον δώρημα, τοῖς βροτοῖς κεχάρισται, δι' οὗ Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Δίς.

Ὦ τοῦ παραδόξου θαύματος, ὡς βότρυν πλήρη ζωῆς, ὁ βαστάσας τὸν ὕψιστον, ἐκ φωτὸς πληρούμενος, σταυρὸς ὡράθη σήμερον, δι' οὗ πρὸς Θεόν, πάντες εἰλκύσθημεν, καὶ κατεπόθη, εἰς τέλος θάνατος, ὃ σκῆπτρον πάντιμον, ὑφ' οὗ ἀπολαύομεν τῆς ἐν ἐδέμ, ἀθανάτου βρώσεως Χριστὸν δοξάζοντες.

Ὦ τοῦ παραδόξου θαύματος, εὖρος καὶ μῆκος σταυροῦ, οὐρανοῦ ἰσοστάσιον, ὅτι θείᾳ χάριτι ἁγιάζει τὰ σύμπαντα, ἐν τούτῳ ἔθνη, βάρβαρα ἥττηνται, ἐν τούτῳ σκῆπτρα, ἀνάκτων ἤδρασται, ὃ θείας κλίμακος δι' ἧς ἀνατρέχομεν εἰς οὐρανούς, ὑμνοῦντες ἐν ᾄσμασι, Χριστὸν τὸν Κύριον.

Δόξα ἦχος πλ. α'.

Σήμερον ὡς ἀληθῶς, ἡ ἀγιόφθογγος ῥῆσις τοῦ Δαβίδ, πέρας εἴληφεν· ἰδοὺ γὰρ ἐμφανῶς, οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν σου Χριστέ, σχεδιάσαντος σταυροτύπῳ σου φωτί, τὸ σωτήριον ἡμῖν τρόπαιον· ὅθεν οὖν καὶ ἡμεῖς οἱ ἐσταυρωμένον σε, Θεὸν καταγγέλλοντες, ἀγαλλομένῳ ποδὶ σκιρτῶντες, τῇ πίστει ἐπαγαλλόμεθα, καὶ ἐν τῇ τῶν πτερύγων σου ἐλπίζοντες σκιᾷ, πανοικτίρμων βοῶμέν σοι· σημείωσον ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου· τοῦ ὀρθοδόξου λαοῦ σου, τὸ κέρας κραταιῶν τῇ τοῦ τιμίου σταυροῦ σου φωταυγίᾳ, πολυέλεε Κύριε.

Καὶ νῦν τῆς ἑορτῆς.

Δοξολογία Μεγαλ. καὶ τὰ λοιπὰ τοῦ Μηναίου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Μεγαλυνάριον τῆς αὐτῆς ἑορτῆς.

Ἆρον Κωνσταντῖνε νῦν τὸν Σταυρόν, καὶ στῆθι ἐν μέσῳ, καὶ πολέμησον κραταιῶς, τοὺς καταπατοῦντας τὴν πόλιν τὴν Ἁγίαν, ἣν σὺ σὺν τῇ μητρί σου ἀνῳκοδόμησας.

ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ 10

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΣΙΜΩΝΟΣ ΤΟΥ ΖΗΛΩΤΟΥ

Εἰς τὸν ὄρθρον· κάθισμ. ἦχ. πλ. α΄.

Τὸν συνάναρχον λόγον.

Ὁ Χριστός σοι παμμάκαρ, Σίμων δεδώρηται, ἀγαθῶν ἀφθονίαν καὶ τὰς ἀκρότητας, χαρισμάτων μαθητὰ ἐνθέων δείξας σε, κλεινὸν Ἀπόστολον αὐτοῦ, ὁ μόνος δίκαιος κριτής, ἐν κρίσει δικαιωτάτῃ· διὸ αὐτὸν ἐκδυσώπει, ὑπὲρ ἡμῶν τὸν εὐφημούντων σε.

Δόξα τὸ αὐτό· καὶ νῦν τῆς ἑορτῆς.

Μετὰ τὴν β΄. στιχολ. κάθισμα ὅμοιον.

Ἀξιάγαστε Σίμων, ζήλου ἐπώνυμος, σὺ ἐκλήθης ζηλώσας, ζῆλον τὸν ἔνθεον, τῷ παντοκράτορι Θεῷ, διὸ ἀνέδειξε, σὲ τῶν θαυμάτων αὐτουργόν, τὴν ἐξουσίαν ὁ Χριστός τοῦ λύειν δούς σοι ἀνθρώπων, τὰς ἁμαρτίας καὶ τούτους αὐτῷ προσάγειν διὰ πίστεως.

Δόξα τὸ αὐτό· καὶ νῦν τῆς ἑορτῆς.

Μετὰ τὸν πολυέλαιον κάθισμα· ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Τῷ ἀρότρῳ τοῦ λόγου καλλιεργῶν, χερσωθείσας καρδίας ἱερουργέ, τὴν θείαν ἐπίγνωσιν, γεωργεῖν παρεσκεύασας, καὶ καθελὼν τεμένη, εἰδώλων ἀνήγειρας, ἐκκλησίας μάκαρ, εἰς δόξαν τοῦ κτίστου σου· ὅθεν συνελθόντες, τὴν ἁγίαν σου μνήμην, Σίμων ζήλῳ δοξάζομεν, ἱερῶς φωτιζόμενοι, καὶ συμφώνως βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν· Θεοτοκίον.

Οἱ ἀναβαθμοὶ τὸ α΄ ἀντίφωνον τοῦ τετάρτου ἤχου.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Πᾶσα πνοή· τὸ Εὐαγγέλιον.

Καὶ τὸ ἰδιόμελον ἦχος β΄.

Ὡς ὡραῖοι οἱ πόδες σου, Σίμων ζηλωτά, καὶ εὐπρεπὴς ὑπάρχει ἡ γλῶσσά σου, Χριστοῦ τὴν δόξαν λαλοῦσα τρανῶς τῇ ὑφηλίῳ πάσῃ, καὶ αὐτῷ πείθουσα πιστεύειν, τὰ ἔθνη τὰ πλανώμενά ποτε· διὸ καὶ τούτους ἔνδοξε, Ἀπόστολε ἐγνώσθης, ταῖς τῶν θαυμάτων λάμψεσι, καὶ φωτοβόλοις καλλοναῖς, σπέρμα εὐλογημένον· ὡς οὖν ἔχων παρρησίαν, πρὸς κύριον αὐτόπτα, δεόμεθά σου ἐκτενῶς, μὴ ἐλλείπῃς τοῦ πρεσβεύειν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ τὰ λοιπὰ τοῦ Μηναίου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΙΔΡΥΜΑ ΜΙΧΑΗΛ ΓΕΩΡΓΙΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΗ῾ 11Η῀ ΙΟΥΝΙΟΥ

ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΒΑΡΘΟΛΟΜΑΙΟΥ ΚΑΙ ΒΑΡΝΑΒΑ

Εἰς τὸν ὄρθρον· κάθισμα ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ὡς θεῖος ποταμός, ἐκ Σιὼν ὡρμημένος, ποτίζεις τῶν πιστῶν, τὰ συστήματα μάκαρ, χειμάρρους ἐξέπιες, τρυφῆς θείας πανόλβιε, καθικέτευε, τὴν παναγίαν Τριάδα, τοὺς τὴν μνήμην σου ἐπιτελοῦντας ἐκ πόθου, ῥυσθῆναι κολάσεως.

Δόξα τὸ αὐτό· καὶ νῦν· Θεοτοκίον.

Ὡδήγησον ἡμᾶς, ἐν ὁδῷ μετανοίας, ἐκκλίνοντας ἀεὶ πρὸς κακῶν ἀνοδίας, καὶ τὸν ὑπεράγαθον, παροργίζοντας κύριον ἀπειρόγαμε, εὐλογημένη Μαρία, καταφύγιον, ἀπεγνωσμένων ἀνθρώπων Θεοῦ ἐνδιαίτημα.

Μετὰ τὴν δ΄. στιχολ. κάθισμα ἦχος α΄. ὅμοιον.

Τὸ φέγγος τὸ σεπτόν, δεδεγμένος Βαρνάβα, Χριστοῦ τοῦ ἐκ φυλῆς, γεννηθέντος Ἰούδα, ὁρμώμενος μακάριε, ἐκ φυλῆς τῆς λευΐτιδος, ἀνεκήρυξας, ἱερωσύνης καὶ νόμου τὴν μετάθεσιν, διὸ πρεσβεύων μὴ παύσῃ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.

Ἐγγίζει ὁ κριτής, ἐπὶ θύραις τὸ τέλος· γρηγόρησον ψυχή, καὶ ἐκ βάθους καρδίας, στενάξασα βόησον, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν, ἐλευθέρωσον τῶν φοβερῶν με βασάνων, καὶ κατάταξον ἐν ἀναπαύσεως τόπῳ, κυρία θεόνυμφε.

Μετὰ τὸν πολυέλαιον κάθ. ἦχος γ΄.

Θείας πίστεως.

Θείου πνεύματος τῇ φωταυγείᾳ σκότος ἐλύσατε πολυθείας, καὶ τῶν πιστῶν τὰς καρδίας ἐφωτίσατε, ἀναβοῶντες σωτήρια δόγματα, Ἀπόστολοι πάνσοφοι, Χριστὸν τὸν Θεὸν ἱκετεύσατε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα· καὶ νῦν· Θεοτοκίον.

Θαῦμα μέγιστον πῶς συνεσχέθη.

Οἱ ἀναβαθμοί· τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἦχου· τὸ Εὐαγγέλιον· Ὁ Ν. Δόξα ταῖς τῶν Ἀποστόλων· καὶ τὸ ἰδιόμελον ἦχ. δ΄.

Οἱ τῷ ἅλατι τῆς χάριτος, τὴν τῶν εἰδώλων σηπεδόνα παύσαντες καὶ τῷ νοστίμῳ λόγῳ τῆς πίστεως, τὰς τῶν ἐθνῶν καρδίας καθηδύναντες καὶ πρὸς φῶς θεογνωσίας, ταῦτα χειραγωγήσαντες, Ἀπόστολοι πανεύφημοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ ἐκτενῶς δεόμεθα, ὑπὲρ ἡμῶν τῶν ἐν πίστει τελούντων, τὴν μνήμην ὑμῶν τὴν σεβάσμιον.

Καὶ τὰ λοιπὰ τοῦ Μηναίου.

ΤΗ῾ 19Η῀ ΙΟΥΝΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΙΟΥΔΑ

ΑΔΕΛΦΟΥ ΤΟΥ ΚΥΡΙΟΥ

Εἰς τὰ ἀπόστιχα ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

Ἰούδα μακάριε, οἱ ἀδελφοί σου ἐπῄνεσαν, ἀδελφὸν νομιζόμενον, Χριστοῦ τοῦ δι' ἄφατον, εὐσπλαγχνίαν κόσμῳ χρόνων ἐτ' ἐσχάτων, φανερωθέντος ἐν σαρκί, τοῦ πρὸ αἰώνων ἐκ τοῦ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΘΗΓΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

γεννήτορος, ἀχρόνως ἀναλάμψαντος, καὶ σὲ βροτοῖς ἀναδείξαντος, μαθητὴν πᾶσι φέροντα, τὸ σεπτὸν αὐτοῦ ὄνομα.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Ἕλκων τὸν σωτήριον, ζυγὸν Ἰούδα Ἀπόστολε, καὶ ἐκτέμνων τὴν αὔλακα, τὸν σπόρον κατέβαλες, τὸν τῆς εὐσεβείας, καὶ πολύχουν μάκαρ ἤνεγκας στάχυν ἀληθῶς, τῷ σὲ καλέσαντι παναοίδιμε, διό σου τὴν πανήγυριν, ἐπιτελοῦντες δεόμεθα, τὸν σωτῆρα ἱκέτευε, ὑπὲρ τῶν ἀνυμούντων σε.

Στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν.

Νεκρώσας τὰ μέλη σου, τὰ ἐπὶ γῆς ἀδελφόθεε ὦ Ἰούδα τρισόλβιε, τῷ Χριστῷ συνώκησας, τῇ ζωῇ τῶν ὅλων, καὶ τῆς ζωηφόρου, καὶ θείας ὄντος βιοτῆς, τῇ οἰκουμένῃ σὺ ἐχρημάτισας, καταγγελεύς, τὰ ῥήματα τὰ τῆς ζωῆς προϊέμενος, ὃν καὶ νῦν καθικέτευε, ὑπὲρ τῶν εὐφημούντων σε.

Δόξα ἦχος δ΄.

Δεῦτε συμφώνως οἱ πιστοί, τὸν ἀδελφὸν φανέντα, τοῦ κυρίου καὶ Ἀπόστολον, Ἰούδαν στέψωμεν ἐν ὕμνοις, οὗτος γὰρ τῆς τοῦ Πνεύματος ἐν Σιών, ἀξιωθεὶς ἐμφανείας, τὸ κάλλος καὶ τὴν αἴγλην τεθέαται, τῆς αὐτοῦ θεωρίας, καὶ τὰ πέρατα τῆς γῆς διαδραμών, κατήγγειλε τὸ σωτήριον ὄνομα, καὶ ἔθνη πλεῖστα καὶ λαοὺς πρὸς φῶς θεοσεβείας μετήγαγε· διό περ καὶ ἡμεῖς τὴν τούτου μνήμην σήμερον, ἐν πίστει ἑορτάσωμεν, ἵνα ταῖς πρεσβείαις αὐτοῦ, τῶν ἀμέτρων πταισμάτων ἡμῶν, καὶ παντοίων θλίψεων, λυτρωθῶμεν καὶ κολάσεων.

Καὶ νῦν Θεοτοκίον.

Εἰς τὸν ὄρθρον· κάθισμα ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Ὑπάρχων ἀνάπλεως, τῶν χαρισμάτων σοφέ, τῶν θείων Ἀπόστολε, καὶ ἐκ θεοῦ δωρεῶν, ἀφθόνως σοι ἔνδοξε, Ἰούδα δεδωρημένον, πρὸς λιμένα τὸν θεῖον, ἴθυνον σωτηρίας τοὺς πιστῶς σου τὴν μνήμην τελοῦντας θεοκῆρυξ, ἡμᾶς, καὶ σῶσον πρεσβείαις σου.

Δόξα τὸ αὐτό· καὶ νῦν· Θεοτοκίον.

Μετὰ τὴν δ΄. στιχολογίαν κάθισμα ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Δυνάμει τοῦ πνεύματος, τῇ ἀηττήτῳ σαυτόν, Ἰούδα φραξάμενος, τῶν ἀπορρήτων αὐτοῦ, λειτουργὸς μάκαρ γέγονας· ὅθεν καὶ ἐκδιώκεις, πνεύματα πονηρίας, λόγῳ χάριτος θείας, ἐξ ἀνθρώπων καὶ τούτους, προσάγων σεσωσμένους, Χριστῷ τῷ Θεῷ διὰ τῆς πίστεως.

Δόξα τὸ αὐτὸ καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Μετὰ τὸν πολυέλαιον κάθισμα· ἦχος πλ. α΄.

Τὸν συνάναρχον λόγον.

Τὸν συνάναρχον λόγον, πατρὶ καὶ πνεύματι αἰτούμενος μὴ παύσῃ πταισμάτων ἄφεσιν, καὶ τῶν δεινῶν ἀπαλλαγήν, καὶ βίου ἐπανόρθωσιν τοὺς ἐν πίστει σε ἀεὶ ἐπιτελοῦντας ἑορτὴν θεάδελφε τοῦ σωτῆρος, ὡς ἔχεις παῤῥησίαν, πρὸς τὸν σὸν συγγενῆ καὶ Θεὸν ἡμῶν.

Δόξα· καὶ νῦν· Θεοτοκίον.

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄφραστος τόκος, ὁ τῆς γεννήσεως, ἐν σοὶ ἐγνώρισται ἀγνὴ ἀειπάρθενε, καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμόν, ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Οἱ ἀναβαθμοί· τὸ Εὐαγγελ. καὶ τὸ ἰδιόμελον ἦχ. δ΄.

Τὸν ἐν μεθέξει θεότητος, ἐνθέως ὑμνήσωμεν, οὗτος γὰρ ὥσπερ ἄλλος οὐρανὸς λογικός, φθεγγόμενος διηγήσατο τοῦ Θεοῦ τὴν δόξαν, τὰ ἄπειρα θαύματα, τοῦ δι' ἡμᾶς σαρκὶ ἐπιφανέντος,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΑΥΡΙΔΗ

Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ᾧ καὶ νῦν παριστάμενος, ὑπὲρ ἡμῶν πρεσβεύει, τῶν ἐκτελούντων πιστῶς τὴν θείαν μνήμην αὐτοῦ.

Ἐξαποστειλάριον· τοῖς μαθηταῖς συνέλθομεν.

Λάμπων φωτὶ τῶν ἔργων σου, παρεστὼς τῇ Τριάδι, ἐν παῤῥησίᾳ πρέσβευε, οἷα χάριτι πέλλων, καὶ ἀδελφὸς τοῦ Κυρίου, νοητὸν ἀπαστράψαι, φῶς ταῖς καρδίαις πόθῳ σου, τὴν ὑπέρφωτον μνήμην, καὶ ἱεράν, ἐκτελούντων· ὅλην γὰρ σὺ ἐξ ὕψους, τοῦ παρακλήτου ἔνδοξε, ὑπεδέξω τὴν αἴγλην.

Θεοτοκίον ὅμοιον.

Τὸ μέγα καὶ παράδοξον, τοῦ τόκου σου μυστήριον, θεοχαρίτωτε κόρη, καὶ θεομῆτορ παρθένε, προφῆται προεκήρυξαν, ἀπόστολοι ἐδίδαξαν, μάρτυρες ὡμολόγησαν, Ἄγγελοι δὲ ἀνυμνοῦσι, καὶ ἄνθρωποι προσκυνοῦσι.

Εἰς τοὺς αἴνους· ἦχ. α'. τῶν οὐρανίων ταγμάτων.

Φωτιστικὴν ἐπιστέλλων, ἀνθρώποις ἅπασιν, ἐπιστολὴν Ἰούδα, τὴν ἀνάπλεον θείων, τοῦ πνεύματος δογμάτων τῶν ζωηρῶν, ἱεροφάντα ἐφώτισας, τοὺς ἐν βυθῷ ἀγνωσίας ὄντας, διό, καὶ τὸν νοῦν ἡμῶν καταύγασον.

Ὥσπερ οὐράνιος ὄμβρος, ὡς ὀρόσος, ἄνωθεν, ὁ θεῖος φθόγγος κῆρυξ, σοῦ εἰς πᾶσαν τὴν κτίσιν, ἐξῆλθε καὶ διέλυσε τὸν αὐχμὸν πολυθείας καὶ πάμπολλα, πλήθη ἀνθρώπων ὡδήγησε πρὸς ζωήν, τοῦ ἑνὸς Θεοῦ κηρύγματι.

Τὰ προσκιάσματα νόμου, σὺ παρωσάμενος, τὸν χαρακτῆρα πᾶσι. τηλαυγῶς ἀληθείας, ἐκήρυξας ἀλήθειαν ὁδηγόν, κεκτημένος θεόσοφε, Χριστὸν ᾧ πρέσβευε μάκαρ ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει εὐφημούντων σε.

Πληρῶν τὸ πρόσταγμα νόμου, Χριστοῦ Ἀπόστολε, ταῖς διδαχαῖς σου πάντα, μαθητεύων τὰ ἔθνη, ἔδραμες προθύμως βαπτίζων αὐτά, Τριάδος θείας ἀοίδιμε, ταῖς ἐπικλήσεσιν ἥνπερ διηνεκῶς, ἐκδυσώπει τοῦ σωθῆναι ἡμᾶς.

Δόξα ἦχος α'.

Ὡς υἱὸν Ἰωσὴφ τοῦ μνήστορος, καὶ ἀδελφὸν χρηματίσαντα κατὰ σάρκα Ἰησοῦ, καὶ τῶν αὐτοῦ μυστηρίων μυσταγωγόν, δωδεκάδος συναρίθμιε, Ἰούδα πανένδοξε, ἐπαξίως εὐφημοῦμέν σε· πυρωθεὶς γὰρ ὡς ἄνθραξ, ταῖς αὐτοῦ λαμπρότησιν, ἀπεστάλης παρ' αὐτοῦ εἰς τὰ πέρατα τῆς οἰκουμένης, καταφλέξας ἅπασαν, τὴν τῶν εἰδώλων πλάνην ψυχολέθρον, καὶ τὸ Εὐαγγέλιον κηρύξας τρανῶς, τὰ ἔθνη τὰ πλανώμενα τῷ λόγῳ κατεφώτισας· διὸ ὡς παῤῥησίαν κτησάμενος, μὴ διαλείπῃς πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ ἡμῶν τῶν τελούντων, τὴν σεβασμίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τῶν οὐρανίων ταγμάτων.

Ἁγιωτέρα Ἁγίων πασῶν δυνάμεων, τιμιωτέρα πάσης κτίσεως Θεοτόκε, δέσποινα τοῦ κόσμου σῶσον ἡμᾶς, τὸν σωτῆρα κυήσασα, ἀπὸ πταισμάτων μυρίων ὡς ἀγαθή, καὶ κινδύνων ταῖς πρεσβείαις σου.

Δοξολογία Μεγάλη

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΟΥ ΜΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΗ῾ι 2ᾳ ΙΟΥΛΙΟΥ

ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΟΥΒΕΝΑΛΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

Εἰς τὸν ἑσπερινόν.

Τὸ Μακάριος ἀνήρ· εἰς τὸ Κύριε ἐκέκραξα· στιχηρὰ τῆς Θεοτόκου Γ'. καὶ τοῦ ἱεράρχου προσόμοια Γ'.

῞Ηχος α'.

Ὦ τοῦ παραδόξου θαύματος.

Ὦ τοῦ παραδόξου θαύματος, ὁ φωστὴρ ὁ λαμπρός, τῆς Σιὼν ὁ πρύτανις, ὁ ἔξαρχος τῶν σοφῶν, καθοραΐζων τοῦ Κυρίου τὸ τύμβιον, εἰς τὰς συνόδους λαμπρός, Χριστὸν κηρύξας, Θεὸν ὑπερτέλειον, ὑπερλογικαῖς μεθόδοις, τοὺς θεομάχους τροπούμενος, καὶ τελειωθεὶς ἐνθέως, δόξης κατηξίωσας, εἰς θείας σκηνώσεις, Ἰουβενάλιε πάνσοφε.

Βαβαὶ τῆς σῆς θεωρίας σοφέ! τοῦ ναοῦ γὰρ πύλας, διελθὼν ἐν πνεύματι, τὸ ὄρος τοῦ Γολγοθᾶ θεωρῶν, καὶ τὸν νοῦν φωτιζόμενος, ἐφάνης εἰς βασιλεῖς, ὑπὲρ τῆς Θεοτόκου ὑπέρμαχος, παρίστησιν ἀκριβῶς, τῶν δογμάτων καὶ ὕψος τῶν λόγων σου, καὶ τῆς θείας δόξης κατηξίωσαι, συναύλων ταγμάτων, Ἰουβενάλιε πάνσοφε.

Τὴν σὴν πανένδοξον κοίμησιν, γηγενῶν τὰ στίφη, σεπτῶς μακαρίζουσιν, ὑμνοῦντες πανευσεβῶς, Χριστὸν τὸν Κύριον, τὸν κόσμῳ σε θαυμαστόν, Ἱεροσολύμων ποιμένα, καὶ λαμπρὸν ἀναδείξαντα, λαμπτῆρα φωταγωγόν, Ἰουβενάλιε πάνσοφε, διὸ

πόθῳ τελοῦντες τὴν ἁγίαν μνήμην σου, ἀπημάντου συντήρει, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Δόξα· ἦχος πλάγ. δ'.

Διέπρεψας πανόλβιε, ἱερομύστα, ἐπιφανῶς, κληρωσάμενος ἔνδοξε, τὸν θρόνον τοῦ Ἀδελφοθέου, χειροτονηθεὶς παρὰ Χριστοῦ, ἱεράρχα Ἰουβενάλιε, οὗπερ καὶ τὸν τρόπον ἐζήλωσας, ἐκεῖνος μὲν εἰς τὰς τῶν Ἀποστόλων συνόδους ἐκάθισεν, σὺ δὲ εἰς οἰκουμενικὰς συνόδους ἐν μέσῳ βασιλέων, καὶ ἀρχιερέων, τὸν Σωτῆρα Χριστὸν Υἱὸν Θεοῦ τρανῶς κηρύξας, ταῖς ἐκείνου διδαχαῖς ἑπόμενος· ὅθεν καὶ διήλεγξας τοῦ Νεστορίου καὶ Εὐτυχίου τὸ ἄθεον φρόνημα, καὶ πάντων τῶν αἱρετιζόντων τὸν κακόδοξον τρόπον, σαφῶς βδελυξάμενος, τὴν ἀειπάρθενον Μαρίαν, θεοτόκον ἐκήρυξας, τὰ ἐντάφια καὶ τὴν μετάστασιν αὐτῆς, ἐνώπιον ἀνάκτων ἐσαφήνισας· νῦν δὲ παριστάμενος ἐν οὐρανοῖς τῷ θρόνῳ τοῦ παντάνακτος Χριστοῦ τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν· τῆς Θεοτόκου.

Εἴσοδος· τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα, τὸ πρῶτον τῆς Θεοτόκου, τὸ Β'. καὶ τὸ Γ'. τοῦ ἱεράρχου.

Εἰς τὴν λιτήν, στιχηρὰ ἰδιόμελα.

῞Ηχος α'.

Εὐφραίνεσθε ἐν Κυρίῳ τῶν εὐσεβῶν ἡ ὁμήγυρις ἀγάλλου καὶ χόρευε Ἱερουσαλήμ, εὐφραίνου ἡ ἐκκλησία τοῦ Χριστοῦ, ἐπὶ τῇ ἱερᾷ μνήμῃ καὶ πανηγύρει Ἰουβεναλίου τοῦ ἱεράρχου· οὗτος γὰρ διδάσκων κατέβαλε τὸν Βελίαρ, τὸν δὲ Θεάνθρωπον Χριστόν, παῤῥησίᾳ πολλῶν κηρύξας ἐνώπιον ἀνάκτων, ἀνῆλθε πρὸς τὸ ποθούμενον, πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

῞Ηχος α'.

Εὐφροσύνως σήμερον, ἡ ἐκκλησία τοῦ Θεοῦ στολίζεται, ἀγαλλομένη κράζουσα, ἐλαμπρύνθη μου τὸ κάλλος, ὑπὲρ πάσαν

ΙΕΡΑ ΜΟΝΗ ΠΑΤΜΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΚΑΙ ΑΠΟΚΑΛΥΨΕΩΣ ΙΕΡΟΝ ΚΑΙ ΠΑΝΣΕΠΤΟΝ ΚΕΝΤΡΟΝ ΠΑΝΕΛΛΗΝΙΟΥ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΟΣ ΑΘΗΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πολιν· ἰδοὺ γὰρ τῶν ἀρχιερέων τὸ μέγα κειμήλιον, Ἰουβενάλιος ὁ πανένδοξος, τὴν πορείαν πρὸς οὐρανὸν ἐποιήσατο. Δεῦτε οὖν φιλέορτοι, τῶν ὀρθοδόξων τὸ σύστημα, χοροστατήσαντες ἅμα τῇ θείᾳ λάρνακι, ἰαμάτων πλημμύραν λαμβάνοντες παρ' αὐτῆς, ἱκετεύσωμεν αἰτήσασθαι Χριστὸν τὸν Θεὸν, τοῦ ῥυσθῆναι τὴν οἰκουμένην ἀπὸ πάσης αἱρέσεως.

Ἦχος δ'.

Ὡς Ἄγγελος γέγονας, τῆς τοῦ Χριστοῦ ἀναστάσεως, καὶ πρόεδρος ἔνθεος, τοῦ θείου μνήματος, τοῦ πλουτήσαντος τὴν πηγὴν τῆς ἀθανασίας, τῶν σῶν γὰρ ῥημάτων ὁ φθόγγος καὶ τῶν δογμάτων ἡ εὔσημος κιθάρα, διέδραμε, τῆς γῆς τὰ πέρατα τὸ μυστήριον, τὸ τῆς οἰκονομίας, τοῦ λόγου διδάσκουσα, πάτερ θεόληπτε.

Ἦχος γ'.

Γέγονας κατοικητήριον τοῦ ἁγίου Πνεύματος, ἱεράρχα Χριστοῦ, καὶ ἡ παντοδύναμος χάρις, εὑροῦσα τὴν ἱεράν σου ψυχήν, θεοχαρίτωτε Ἰουβενάλιε· ῥητορεύεις τὴν ἔνσαρκον παρουσίαν τοῦ Χριστοῦ εἰς τὸ ποίμνιόν σου, ἐν τῇ ἡμέρᾳ τῆς Ἀναστάσεως τοῦ Κυρίου, ἐν μέσῳ τῆς ἐκκλησίας, σάλπιγξ γὰρ μεγαλόφωνος ἐδείχθης, ἐπιστηρίζων αὐτούς· καὶ τὰς τῷ Θεῷ ἀναιμάκτους θυσίας, ὑπὲρ τοῦ λαοῦ προσφέρων, ἱερωσύνης στολισμῷ διαπρέπων, καὶ εὐωδιάζων πᾶσαν τὴν οἰκουμένην, ἀφορῶν πρὸς τὰ μέλλοντα, πρὸς ἔλεον τῶν ἀδελφῶν, καὶ συμπάθειαν ῥέπουσαν, τὴν χάριν τῶν ἰαμάτων δαψιλῆ, σοὶ ἐχαρίσατο ἵνα καὶ τὸν ἔλεον τοῖς δεομένοις ἀφθονώτερον ἐπέδωκας, τοῖς πάσχουσι πάθη ποικίλα, θεραπεύεις ἑκάστοτε, καὶ πρεσβεύεις τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλαγ. δ'.

Ἀγγελικὸν βίον, ἐν γῇ ἐπιδειξάμενος, ψήφῳ Θεοῦ, τὴν ποιμαντικὴν ῥάβδον ἐνεχειρίσθης, καὶ ἐν καθέδρᾳ ἀποστόλων καθήσας, ἀρχιερεὺς ἐννομώτατος, μέχρι τέλους σου ἐχρημάτισας,

μακαριώτατε καὶ θεοπρόβλητε Ἰουβενάλιε· ἱερουργῶν γὰρ τὰ θεῖα καὶ ἄῤῥητα μυστήρια, τὸν Κύριον τοῖς ἐνθέοις ἔργοις σου ἐδόξασας· δι' ὅπερ καταντήσας εἰς βασιλείαν οὐράνιον, καὶ παριστάμενος τῷ θρόνῳ τῆς Ἁγίας Τριάδος· ὅθεν ἐξ ἀκηράτων ἀνθέων, ἐστέφθης παρ' αὐτῆς, καὶ μετὰ ἀγγέλων ἐν οὐρανοῖς συναγάλλῃ, αἴτησαι ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν τῆς Θεοτόκου.

Εἰς τὸν στίχ. στιχηρὰ τῆς Θεοτόκου· καὶ τὸ ἰδιόμελον.

Ἦχος α'.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Πανσεβάσμιε πάτερ, Ἱεράρχα πανένδοξε, Ἱεροσολύμων τὸ ἐγκαλλώπισμα, καὶ τοῦ κόσμου προστάτα θερμότατε. Ἐν μέσῳ γὰρ τῶν συνόδων παναοίδιμε, εὐπαῤῥησιάστως ἐκήρυξας τὸν Χριστὸν Θεὸν ὑπερούσιον, σάρκα δι' ἡμᾶς εἰληφότα, σταύρωσιν καὶ ταφήν, ἑκουσίως καταδεξάμενον, καὶ ἀναστάντα ἐν δόξῃ, ὡς Θεὸν παντοδύναμον, ὃν ἱκέτευε, Ἰουβενάλιε πανάγιε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα ἦχος δ'.

Εἰς τὰ ὑπερκόσμια σκηνώματα τὸ πνεῦμά σου, Χριστὸς ὁ Θεὸς προσηκάμενος ἀμώμητον ἐδόξασε τηλαυγέστερον Ἱεράρχα Ἰουβενάλιε, καὶ ἐν Ἱεροσολύμοις τὴν ἕδραν τοῦ Παναγίου Τάφου κληρωσάμενος, ὅπου ὁ Θεάνθρωπος Ἰησοῦς τὸ ἑαυτοῦ πανάγιον αἷμα ἐξέχεεν εἰς τὴν τῶν βροτῶν ἀπολύτρωσιν, καὶ ἐν τάφῳ κατετέθη τὸ Πανάχραντον σῶμα αὐτοῦ· ἵνα ἡμᾶς ἐκ τῶν βαράθρων τοῦ Ἅδου ἀναστήσαι· σὺ δὲ τῆς ἁγίας Τριάδος γέγονας ὑπέρμαχος, καὶ παριστάμενος μετὰ ἀγγέλων τῷ θρόνῳ τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν τῆς Θεοτόκου.

Ἀπολυτίκιον ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς

ΕΘΝΙΚΟΝ ΑΣΤΕΡΙΝΑΔΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΕΚΔΟΤΩΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

οἰκουμένης ὁ φωστήρ, ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Ἰουβενάλιε σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα καὶ νῦν τῆς Θεοτόκου.

Ἀπόλυσις.

Εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολογίαν κάθ. ἦχος πλ. α΄.

Τὸν τάφον σου Σωτήρ.

Εὐφραίνεται ἐν σοί, Σιὼν πόλις Κυρίου, ἡμέρας φαεινήν, σὲ πλουτοῦσα νεφέλην, καὶ στύλον ἀείφωτον, ἐν νυκτὶ ὡς προλέλεκται, ἀπὸ καύματος, ἐν ἀποκρύφῳ καὶ σκέπῃ, ταύτην φύλαττε, ἐκ δυσμενῶν ἀλαστόρων, Ἰουβενάλιε ἔνδοξε.

Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς Θεοτόκου.

Μετὰ τὴν β΄. στιχ. κάθ. ἦχος δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Τὴν σοφίαν τοῦ λόγου πεπλουτηκώς, ἐξηρεύξω δογμάτων ῥεῖθρα ζωῆς, καὶ πᾶσαν κατήρδευσας εὐσεβούντων διάνοιαν· καὶ βακτηρίᾳ θείᾳ ποιμάνας τὸ ποίμνιον, ἐπὶ χλόην θείας ἐξέθρεψας γνώσεως. Ὅθεν ὡς ποιμένα καὶ διδάσκαλον μέγαν, τῆς πίστεως πρόμαχον, ἱεράρχα Ἰουβενάλιε εὐφημοῦντες βοῶμέν σοι. Πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα τὸ αὐτό. Καὶ νῦν τῆς Θεοτόκου.

Μετὰ τὸν πολυέλαιον. Κάθ. ἦχος πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω ἡ πληθὺς τῶν εὐσεβούντων, ὁ Ἰουβενάλιος Χριστοῦ ὁδὸν τὴν θείαν, ὡς ἀκρότατος ἐδίδαξεν ἱεράρχης, λέγων, ὁ ἐν τοῖς κόλποις ὢν τοῦ Πατρός, προῆλθεν ἐκ τῆς παρθένου

ἄνευ σπορᾶς, εἰς τὸ σῶσαι τὸν ἄνθρωπον, κηρύξας δὲ εὐσεβῶς, τοὺς δαίμονας κατήσχυνεν, ὄντως θαῦμα παράδοξον.

Δόξα· καὶ νῦν τὸ αὐτό.

Οἱ ἀναβαθμοί, τὸ ἀ. ἀντίφωνον τοῦ δ΄. ἤχου.

Προκείμενον, ἦχος δ΄.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Στιχ. Ἐπαίνει Ἰερουσαλὴμ τὸν Κύριον, αἶνει τὸν Θεόν σου Σιών.

Τὸ πᾶσα πνοή. Εὐαγγέλιον τῶν Ἱεραρχῶν.

Ὁ Ν΄. Δόξα, ταῖς τοῦ Ἱεράρχου· καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα στιχ. ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ Ἰδιόμελον ἦχος πλ. δ΄.

Τὴν σεπτὴν ἀνάστασιν, καὶ τάφον τῆς ζωῆς ἀκλινεῖ πόθῳ θεωρῶν, θεωρίας ἥντλησας κρυφιομύστους καὶ τοῖς πιστοῖς μετέδωκας τοῦ θείου λόγου τὴν ἑλλαμψιν· καὶ τὰς αἱρέσεις τῶν θεομάχων κατήσχυνας, ἱεράρχα Ἰουβενάλιε, πρέσβευε τὸν ἐκ τάφου ἀναστάντα Χριστὸν τὸν Θεόν, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Ὁ κανὼν τῆς Θεοτόκου εἰς Γ΄. καὶ τοῦ Ἱεράρχου.

Ὠδὴ ἀ. ἦχος ἀ. ὁ Εἱρμός.

Χριστὸς γεννᾶται.

Χριστὸς κελεύει δοξάσωμεν, τὸν θεῖον θαυμαστὸν Ἰουβενάλιον· Χριστὸς ἐπὶ γῆς ἀνύψωσε, θαύματα ἐκτελοῦντα πάσῃ τῇ γῇ, ὃν δοξολογοῦντες, ἀνυμνήσωμεν φαιδρῶς, ὅτι δεδόξασται.

Ῥομφαία δίστομος πέφυκε, θερμῶς τοὺς βλασφημοῦντας ἐκτέμνουσα, Χριστὸν ἐπὶ γῆς ἐπέφανεν, ἅπαντας τὸ λατρεύειν μόνον Θεόν, καὶ ἐν τῇ ἐλπίδι, ἀνυμνεῖν τε εὐσεβῶς νῦν ἀνεδίδαξεν.

Ὀρθῶς σαφῶς ἐδογμάτισε, Χριστὸν ἐκ τοῦ πατρὸς καὶ συνάναρχον, καὶ μόνον Θεὸν ἐκήρυξεν, ἅπασι τοῖς ἐν κόσμῳ διασα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΙΔΡΥΤΗΣ ΙΩΑΝΝΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

φῶν, καὶ ἐν τῇ μελλούσῃ, ἀνελκύσει τοὺς πιστούς, ὅτι δεδόξασται.

Θεοτοκίον.

Χαρᾶς αἰτία χαρίτωσον, τὸν νοῦν μου καὶ φωτί σου κατάλαμψον, ψυχήν, ἁγνή, καὶ διάνοιαν, ὅπως σοὶ ἐκβοήσω χαρμονικῶς, σὺν τῷ Ἀρχαγγέλῳ, χαριστήριον ᾠδὴν Θεοχαρίτωτε.

ὨΙδὴ Γ. ὁ εἱρμός.

Τῷ πρὸ τῶν αἰώνων.

Στῶμεν ἐπαξίως, ὡς λαμπρῶς ἀνυμνοῦντες τὸν Ἰουβενάλιον, τῆς ἀσεβείας καθαιρέτην, καὶ Ἱεραρχῶν ἀλήπτην, σαφῶς, καὶ θερμῶς βοήσωμεν, ὁ στερεώσας τὸ σέβας ἡμῶν, ἅγιος εἶ Κύριε.

Μέγας ἐν συφίᾳ, καὶ πολὺς τῶν θαυμάτων Ἰουβενάλιος ἦν, τοὺς ἀσεβεῖς καταισχύνας, ὡς ἀθέων προστάτας, λαμπρῶς, καὶ τρανῶς ἐβόησεν, ὁ σαρκωθεὶς Χριστὸς ὁ Θεός, ἅγιος εἶ Κύριε,

Ὁ τῆς προστασίας μετασχὼν τε τοῦ θρόνου λαμπρὸς Ἱερεύς. τοὺς πρὸς φθορὰν κατολισθέντας, διαβόλου ἀπάτῃ, διδάσκων, καὶ ὁδηγῶν εὐλαβῶς πρὸς Χριστόν, ὁ δι' ἡμᾶς καθ' ἡμᾶς ἐκβοᾷ, ἅγιος εἶ Κύριε.

Θεοτοκίον.

Ὦ τῶν ὑπὲρ νοῦν τε, καὶ ἀῤῥήτων σου θαυμάτων θεόνυμφε· πῶς καὶ τεκοῦσα παρθενεύεις, τὸν συνάναρχον λόγον πατρί, καὶ τῷ θείῳ πνεύματι, ᾧ μελῳδοῦμεν ἀπαύστως οἱ πιστοί, ἅγιος εἶ Κύριε.

Κάθισμα ἦχ. πλ. δ'.

Τὴν σοφίαν καὶ λόγον.

Ἀποστόλων ζηλώσας τρόπους σοφέ, ὡς διάδοχος θρόνων ἀναδειχθείς, τοῖς πᾶσιν ἐκήρυξας, τὰ σωτήρια δόγματα, καὶ ἱεραρχῶν πλήθη προσῆξας ἀοίδιμε, τῷ δεσπότῃ πάντων, ποιμὴν οἷος ἄριστος· ὅθεν δυσωποῦμεν, μὴ βραδύνῃς παμμάκαρ,

ἡμᾶς πάσης θλίψεως, ὡς ταχέως ἐκρύσασθαι, τῇ θερμῇ προστασίᾳ σου, δόξα ὕμνος Χριστῷ τῷ Θεῷ, ὅτι σώζεις ταῖς εὐχαῖς σου ἅπαντας ἐκ Θεοῦ γὰρ ὑπάρχεις μακάριε.

Δόξα· καὶ νῦν· τῆς Θεοτόκου.

ὨΙδὴ Δ'.

Ὁ εἱρμός. Ῥάβδος ἐκ τῆς ῥίζης.

Θεῖος Ἰουβενάλιος ἐν Ἱερουσαλήμ, ποιμὴν γὰρ ἐκ Θεοῦ ἐχρημάτισε, καὶ ὄντως ἀρχιερεὺς τοῦ σωτῆρος ὑπάρχων, ἦλθεν ἐκβοῶν εἰς βασιλέα Χριστὸν τὸν ὄντα Θεόν, δόξα τῇ δυνάμει σου Κύριε.

Τύπος γεγονὼς ἀρχιερέων, καὶ βάσις πιστοὺς τοῦ Χριστοῦ εὐσέβειαν ἐκήρυξας, καὶ μόνη εἰκὼν τοῦ προαναρχου Πατρὸς καὶ Υἱοῦ, ὃς, ἦλθε σαρκωθεὶς ἐξ ἀπειράνδρου, αὐτὸς ὁ ὤν, καὶ Θεός, δόξα τῇ δυνάμει σου Κύριε.

Λάμπων Ἰουβενάλιος ἐκ Σιών, καὶ ποιμὴν ἐξ αὐτῆς Χριστοῦ, ἐπεὶ συνόδων ἐκήρυξε, τὰ μὴ ὀρθὰ φρονήματα ὡς καθάρματα πάντα, ἦλθεν ἐκβοῶν ἀνυποστόλως Χριστῷ, ὄντι καὶ Θεῷ δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Χαῖρε λογικὴ περιστερά, κατάπαυσιν ἡ φέρουσα τῆς ἀπιστίας, καὶ πρὸς πίστιν Θεοῦ ἑλκύσασα, μυστικῶς τοὺς ἐν σκότει παρθένε, τῷ τῆς ἀγνωσίας κρατουμένους, καὶ νῦν βοῶντας πιστῶς, δόξα τῇ δυνάμει σου Κύριε.

ὨΙδὴ Ε'. ὁ εἱρμός.

Θεὸς ὢν εἰρήνης.

Ῥήμασι σοφίας πολλοὺς ὁδηγῶν, καὶ θαυμάτων πλουτήσας τὴν ἔνδειξιν, τὴν πίστην παρεχόμενος ἐφώτισας λαούς, ὅθεν θεογνωσίας φαιδρῶς τετυχηκότες, καὶ λαμπρῶς ὀρθρίζοντες, ἐδοξολόγουν τὸν φιλάνθρωπον.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΠΑΡΑΓΩΓΗΣ

Ἀθέων τὸ θράσος ὡς μὴ δεδιώς, ὡς λαμπρῶς, καὶ ἀρίστως ἐδίδαξας, σοφίαν ἐνυπόστατον τὸν λόγον τοῦ Θεοῦ, ὅθεν τῇ σῇ σοφίᾳ τρανῶς ἐκδιδαχθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμεν τὸν φιλάνθρωπον.

Ῥομφαία ὑπῆρχες, κατὰ δυσσεβῶν, ἐπὶ λόγοις, καὶ θαύμασιν Ἰουβενάλιε, ὡς τέμνων τὴν ἀσέβειαν καρδίας ἀπειθῶν, διὸ καὶ βασιλείας ἐπέτυχες τρισμάκαρ, καὶ λαμπρῶς, ἐβάδισας, πρὸς τὸν ποθούμενον τρισόλβιε.

Θεοτοκίον.

Ἡ κλίμαξ, ἣν εἶδε ποτὲ Ἰακώβ, τοὺς βροτοὺς ἀπὸ γῆς ἡ ἀνάγουσα, εἰς δόξαν τὴν οὐράνιον, σὺ εἶ ὡς ἀληθῶς παντάνασσα Μαρία, διό σοι καὶ τὸ χαῖρε εὐχαρίστως βοῶμεν οἱ σεσωσμένοι τῇ κυήσει σου.

ὨΙδὴ ΣΤ'. Ὁ εἱρμός.

Σπάλιγχνων Ἰωννᾶν ἔμβρυον ἀπήμεσεν.

Πρῶτος ἐν Σιὼν πατριάρχης γέγονας, ἡ σύνοδος γάρ σε ἐκήρυξεν, ἐπεὶ κατῄσχυνας Εὐτυχῆ καὶ σὺν αὐτοῦ παράφρονας, διελήλυθας Χριστὸν κηρύξας θεάνθρωπον, οἷς γὰρ οὐχ ἡττήθης, τούτους δέ, Ἰουβενάλιε σαφῶς ἐδίδαξας.

Θαύμασι πολλοῖς Ἰουβενάλιος κατήστραψεν, ἰσάγγελον νοῦν οὗτος ἐξήσκησεν ἐν σοφίᾳ δὲ ἐπανέστη ἀθέοις καὶ νίκας λαβών, διελήλυθεν ἀθέων τὰ φρυάγματα, οἷς γὰρ οὐχ ὑπείκων οὗτος δὲ τὴν καρδίαν κατέσχεν ἀπήμονα.

Λάμψας ἐν Σιὼν Ἰουβενάλιε ἐποίμανας, οὐράνιον νοῦν πάντας ἐδίδαξας, τῇ Τριάδι δὲ ἀπονέμειν τὸ σέβας ὡς πάντων Θεῷ, καὶ κατήλεγξας θεομάχων ἀσέβειαν, ὄντως γὰρ εὐσεβείας στήριγμα, τοῦτο καὶ αἰσχύνης ἀνάπλεων.

Θεοτοκίον.

Νέος οὐρανὸς ἐδείχθης λαμπρότατος, ἀνέτειλας γὰρ τὸν μέγαν ἥλιον, καὶ ἀνέσπερον ὑπὲρ λόγον καὶ ἔννοιαν πάναγνε,

ἀθείας τε τὴν νύκτα διαλύσασα, ὅθεν πᾶσα κτίσις συναγάλλεται, καὶ τὸ χαῖρε ἀπαύστως κραυγάζει σοι.

Κοντάκιον τῆς Θεοτόκου, καὶ τοῦ ἁγίου.

Ἐπεφάνης σήμερον.

Ἐθεώρεις πάντοτε, τὸν τάφον τοῦ Κυρίου, καὶ συνόδοις ἐλαμψας τῆς Σιωνίτιδος ποιμήν, Ἱεροσολύμων ἀγλάισμα, σκέπε σῶζε ἡμᾶς, σοφὲ Ἰουβενάλιε.

Ὁ οἶκος.

Τῇ σοφίᾳ τῶν λόγων σου, καὶ τῷ φέγγει τοῦ βίου σου, ὡς ἀστὴρ πολύφωτος ἀξιάγαστε, ἐν ταῖς συνόδοις διέλαμψας, Νεστόριον, Εὐτύχιον καὶ Διόσκορον, τοὺς θεομάχους τῷ ἀναθέματι παρέπεμψας, καὶ ὡς ἀρωμάτων φιάλαι, αἱ σιαγόνες σου θεόφρον, νάρδου πιστικῆς πολυτίμου, σοφίας γέμουσαι, ὤφθησαν ἀλάβαστρον, σῶμα Χριστοῦ τὸ τίμιον, ἀρωματίζων τοῖς σοῖς δόγμασιν, Ἱεροσολύμων ἀγλάισμα, σκέπε σῶζε ἡμᾶς, σοφὲ Ἰουβενάλιε.

Τῷ αὐτῷ μηνὶ Ἰουλίῳ 2, ἡ ἀνάμνησις τῆς ἐν τῇ ἁγίᾳ σορῷ καταθέσεως τῆς τιμίας ἐσθῆτος, τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἐν ταῖς Βλαχέρναις.

»Χιτὼν μὲν Υἱοῦ χριστοφρουροῖς δημίοις.
»Ἐσθὴς δὲ μητρὸς χριστοφρουρήτῳ πόλει.
»Δευτερίῃ κατέθεντο σορῷ ἐσθῆτα Πανάγνου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰουβεναλίου. Πατριάρχου Ἱεροσολύμων.

»Μνήμην γεγαίρω τὴν Ἰουβεναλίου.
»οὗ μνῆμα θεῖον ἡ Παλαιστίνη φέρει.

Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰουβενάλιος ἦτο κατὰ τοὺς χρόνους Θεοδοσίου τοῦ Μικροῦ ἐν ἔτει υή, [408]. Ἀρχιερατεύσας εἰς τὰ Ἱεροσόλυμα τρίτος μετὰ τὸν Ἅγιον Κύριλλον, καὶ φθάσας ἕως εἰς τὰς

ΕΘΝΙΚΟΝ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Βασιλείας Μαρκιανοῦ τοῦ ἐν ἔτει υν' [450] βασιλεύσαντος, καὶ Λέοντος τοῦ μεγάλου, τοῦ ἐν ἔτει υνη' [458] βασιλεύσαντος. Παρὼν δὲ ἦτο οὗτος εἰς τὴν ἐν Ἐφέσῳ τρίτην οἰκουμενικὴν σύνοδον τὴν ἐν ἔτει υλά [431] συγκροτηθεῖσαν, εἷς ὢν τῶν αὐτῇ διακοσίων πατέρων· Τότε δὲ ἔλαμψεν εἰς τὰ δόγματα τῆς πίστεως ὁμοῦ μὲ τὸν θεσπέσιον Κύριλλον τὸν Ἀλεξανδρείας. Ἔφθασε δὲ καὶ ἕως εἰς τὴν τετάρτην σύνοδον τῶν ἑξακοσίων τριάκοντα Πατέρων, τὴν ἐν Χαλκηδόνι συγκροτηθεῖσαν ἐν ἔτει υνά [451], κατὰ τὴν ὁποίαν ἐτιμήθη ἀπὸ τὸν βασιλέα Μαρκιανὸν διὰ τὴν σοφίαν καὶ ἀρετήν του. Ὅτε δὲ ἔκτισε τὰς Βλαχέρνας ὁ Βασιλεὺς Μαρκιανὸς μετὰ τῆς Πουλχερίας, ἠρώτησε τότε παρόντα τὸν ἅγιον τοῦτον Ἰουβενάλιον ἂν ἴσως ἠξεύρῃ ποῦ ἐτέθη τὸ σῶμα τῆς Θεοτόκου. Ὁ δὲ ἀπεκρίθη, ὅτι ἀπὸ ἐγγράφου μὲν Ἱστορίας δὲν ἠξεύρει, φαίνεται δὲ λόγος παλαιὸς καὶ ἀληθής, ὅτι ἀφ' οὗ τὸ σῶμα τῆς Θεοτόκου ἐνεταφιάσθη ἀπὸ τοὺς Ἀποστόλους, ἠκούετο εἰς τὸν τάφον Της Ἀγγελικὴ ὑμνῳδία ἐπὶ τρεῖς ἡμέρας· μετὰ δὲ τὴν τρίτην ἡμέραν, ἐπειδὴ εἷς τῶν Ἀποστόλων [ὁ Θωμᾶς ὀηλαδὴ] δὲν ἦτο παρὼν εἰς τὸν ἐνταφιασμὸν τῆς Θεοτόκου, διὰ τοῦτο ἠνεῴχθη ὁ Τάφος, καὶ δὲν εὑρέθη τὸ σῶμα αὐτῆς παρὰ μόνον τὰ ἐντάφια. Ὅθεν παρεκάλεσεν ὁ βασιλεὺς τὸν Ἅγιον νὰ σφραγίσῃ καὶ νὰ στείλῃ εἰς τὴν Κωνσταντινούπολιν τὴν θήκην, ὅπου ἐτέθη τὸ σῶμα τῆς Θεοτόκου ὁμοῦ μὲ τὰ ἐντάφια αὐτῆς ὃ καὶ ἐγένετο. Ὁ δὲ Ἅγιος Ἰουβενάλιος Πατριαρχεύσας τριάκοντα ὀκτὼ χρόνους, ἐν εἰρήνῃ ἐκοιμήθη (1).

Ὠδὴ Ζ'. ὁ εἱρμός.

Οἱ παῖδες εὐσεβείᾳ.

Ὡς θεῖος καὶ σοφὸς ἱεράρχης, δυσσεβῶν φρονήματα κατεπάτησας, δεινῶν ἀπειλὴν οὐκ ἐδειλίασας, ἀλλ' ἐν μέσῳ συνόδων ὑπάρχων ἔψαλλες, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

(1). Ὁ δὲ Ἱεροσολύμων Δοσίθεος ἐν τῇ Δωδεκαβίβλῳ σελ. 402 γράφει, ὅτι ὁ θεῖος οὗτος Ἰουβενάλιος ἐκοιμήθη ἐν ἔτει τετρακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ πατριαρχεύσας χρόνους εἴκοσι ὀκτώ, ὡς φαίνεται εἰς τὸν βίον τοῦ Ἁγίου Σάββα, ὡς καὶ ἀλλαχοῦ λέγεται, ὅτι ἔζησε χρόνους τεσσαράκοντα τέσσαρας εἰς τὸ πατριαρχεῖον, ὡς φαίνεται καὶ εἰς τὸν βίον τοῦ Ἁγίου Εὐθυμίου. Οὗτος ὁ Πατριάρχης ἔγραψε καὶ περὶ τῆς κοιμήσεως τῆς Θεοτόκου, καὶ τῆς μετὰ τρεῖς ἡμέρας μεταστάσεως εἰς τὸν οὐρανὸν τοῦ Θεοδόχου αὐτῆς σώματος.

Λαοὶ σὴν θεοσέβειαν ὁρῶντες εὐσεβεῖς γεγόνασι, καὶ κατεφρόνησαν τῶν εὐσεβῶν τὰς τελετὰς καὶ τὰ σεβάσματα, καὶ ἐνώπιον πολλῶν ἑστῶτες ἔψαλλον, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Εὐφράνθης, ὦ τρισμάκαρ, εὐσεβείᾳ, τριλαμποῦς ἐκλάμψεως καθοπλισάμενος, σοφῶς τοὺς πολλοὺς σὺ καθοδήγησας, ὡς ἐν μέσῳ ἀσεβῶν ἑστάναι ψάλλοντας, ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Χαῖρε θεογεννῆτορ ἡ φωτός σου, ταῖς ἀκτῖσι λάμψασαν τὴν οἰκουμένην, σκοτεινοῖς ἐμπεσοῦσαν παραπτώμασι καὶ φαιδρύνουσα τοὺς πίστει ἀναμέλποντας, ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ Η'. Ὁ Εἱρμός.

Θαύματος ὑπερφυοῦς.

Σῶσον με ὑπερφυῶς ἔχων τὴν χάριν, τὸν ἐρχόμενον πάσῃ ἀνάγκῃ, σὸς γὰρ καγὼ πέφυκα πάντως δοῦλος, ὡς δυνατός, καὶ ἡμῖν παρέχεις χάριν, ἣν ἐδέξω Θεοῦ. Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν. Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὕμνησας ἱερουργῶν θεὸν σωτῆρα, ἐβεβαίωσας θαύμασι πίστιν, Χριστῷ γὰρ σὺ ἔσπευδες νέμειν. σέβας καὶ τοῖς πολλοῖς τὴν θεότητα δεικνύειν, ἣν καὶ ἔδει νοεῖν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν εὐλογείτω ἡ κτίσις πᾶσα τὸ Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νάματα ζωοποιοῦ Θεολογίας, ἐπιδέδωκας πᾶσι τρισμάκαρ· σὺ γὰρ πυρπολούμενος θείῳ ζήλῳ πανευσεβῶς διεκύρυττες τὴν πίστιν, ἣν ἀεὶ δεῖ φρουρεῖν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον καὶ ὑπερυψοῦτω εἰς πάντας τοὺς αἰῶνας·

Θεοτοκίον.

Χαῖρε τοῦ φωτὸς τοῦ ἀπροσίτου, θεῖον ἐνδιαίτημα παρθενο-

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΙΔΡΥΜΑ ΑΘΗΝΑΙ ΚΕΝΤΡΟΝ ΕΛΛΗΝΙΚΗΣ ΛΟΓΟΤΕΧΝΙΑΣ ΙΩΑΝΝΗΣ ΠΑΠΑΣΤΡΑΤΗΣ ΔΗΜΟΣΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

μῆτορ, χαῖρε χώρα εὔκαρπε, στάχυν θεῖον, ὡς ἀληθῶς ἐκβλαστήσασα τὸν τρέφοντα τὰ σύμπαντα, ᾧ πάντες βοῶμεν ἀναμέλποντες· εὐλογείτω πᾶσα ἡ Κτίσις τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

Μυστήριον ξένον.

Σὺν ἁγίοις πᾶσιν, ὁρῶ καὶ ὁμόσκηνον τὸν Ἰουβενάλιον, οὗτος ἦν γὰρ εὐσεβῶς καταισχύνας ἀσεβεῖς παράφρονας, δι' οὗ ἐδοξάσθη, ὁ φιλάνθρωπος Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἰδόντες τὸν θεῖον τελοῦντα παράδοξα, οἱ δυσσεβεῖς ἔφριξαν, ὄντως θαυμαστὸς γὰρ ἐδείχθη ὁ ἔνθεος οὗτος, δι' οὗ προσκυνεῖται ὁ φιλάνθρωπος Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ὑμνῶν σε πάντοτε θεῖε Ἰουβενάλιε, ἱκετεύω πάντιμε, ἵνα με συμφορῶν ἐκλυτρώσῃς παντοίων θεόφρων· δι' οὗ καὶ δοξάζεται ἑκάστοτε Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Θεοτοκίον.

Θεόνυμφε Κόρη, ὁ σὸς νυμφίος ἐν σοί, ἄνωθεν. Ἐσκήνωσε κόσμον εὐωδίασε καὶ πάντα, ὡς ῥόδον ἐν ἀκάνθαις σε πρὶν εὑρηκώς, καὶ ἄνθος ἐν ταῖς κοιλάσι, τὸ πανεύοσμον, κρῖνόν τε πανάσπιλον.

Ἐξαποστειλάριον.

Φῶς ἀναλλοίωτον.

Ἐν ἱεράρχαις ἀστράπτεις, ὡς ἥλιος ἐν ἡμέρᾳ, καὶ ἐν Ἱεροσολύμοις ἐκλάμπεις, ὥσπερ ἐν λαμπηδόνι, διό σε εὐφημοῦμεν Ἰουβενάλιε πάτερ, Σιὼν ἁγίας τὸ κλέος.

Θεοτοκίον.

Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχ. προσόμοια τῆς Θεοτόκου Γ'. καὶ τοῦ ἁγίου τὰ παρόντα.

Ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου.

Σκεῦος ἐκλογῆς σε προϊδών, πάντων ὁ ἑτάζων καρδίας, καὶ βλέπων κρύφια, ἄξιον καθέστηκε, ποιμένα θείας Σιών, ἣν πανσόφως κατήρδευσας διδάγμασι θείοις καὶ καρπὸν σωτήριον αὐτῶν ἐξήνεγκας, ὄντως τῆς πίστεως μάκαρ καὶ ταῖς διδαχαῖς σου προθύμως, τέλος ἀπεσφράγισας Ἰουβενάλιε.

Δεῦτε ἱερέων ἡ πληθύς, καὶ ἀρχιερέων οἱ δῆμοι, πατριαρχῶν ἡ κρηπίς, ἅσμασι τιμήσωμεν τὸν ἱεράρχην Χριστοῦ, τὸν τὴν πλάνην πατήσαντα, καὶ νίκην λαβόντα στέφανον ἀκήρατον παρὰ Χριστοῦ τοῦ Θεοῦ, οὗπερ παρεστὼς νῦν τῷ θρόνῳ, νέμει δαψιλῶς τὰς ἰάσεις πᾶσι, καὶ πταισμάτων ἀπολύτρωσιν.

Οἶκον ἀπετέλεσας σαυτόν, πνεύματος ἁγίου, τρισμάκαρ, καθάρας σου τὴν ψυχήν, καὶ τῷ θείῳ χρίσματι ἀρχιερεὺς γεγονὼς Ἰουβενάλιε ἔνδοξε, λαοῦ καὶ προστάτης, τοῖς ἐπιτελοῦσι τὴν θείαν μνήμην σου, αἴτησαι παμμάκαρ δοθῆναι, λύσιν τῶν δεινῶν ταῖς πρεσβείαις, καὶ ἁμαρτημάτων τὴν συγχώρησιν.

Δόξα ἦχος πλ. α'.

Λαμπρύνεται σήμερον, ὡς ἔαρ εὐφρόσυνον, ἡ πάνσεπτος ἑορτή, ἐν μετοπώρῳ καρδίας ἐκτέρπουσα, τῇ διηγήσει τῶν θαυμάτων σου, ἱεράρχα Ἰουβενάλιε· ἱερέων χρίσμα ἅγιον κεχρισμένος, καὶ ὡς ἀρχιερεὺς τοῦ Κυρίου, ἐνδυσάμενος δικαιοσύνην· καὶ τὸν ναὸν τῆς Σιὼν κατελάμπρυνας λειτουργῶν καὶ καθοραΐζων τὸν τάφον τοῦ Σωτῆρος. Ὦ πατρὶς ἁγία Ἱερουσαλήμ! ἣ σὲ ἐβλάστησεν ἡ κραταιὰ καὶ ἀνώλεθρος· ὦ ῥίζης εὐσεβοῦς, καὶ καρποὶ εὐφροσύνης! εὐφραίνων τὰς καρδίας τῶν πιστῶν διὰ τῆς μελιῤῥύτου διδασκαλίας σου· ἐνώπιον δὲ βασιλέων καὶ ἀρχιερέων σάλπιγξ μεγαλόφωνος δειχθείς, ὑπὲρ τῆς ἁγίας Τριάδος, τοὺς αἱρεσιάρχας κατήσχυνας, ἐπιστηρίζων τὴν τοῦ Χριστοῦ ἐκκλησίαν· ὅθεν χαίρων προσεχώρησας ἁγίων εἰς ἅγια· ὄντως δικαίως ἀγάλλῃ, καὶ περιχαρῶς συλλειτουργεῖς τοῖς ἄνω

ΜΑΚΕΔΟΝΙΚΟΣ ΒΙΒΛΙΟΦΙΛΙΚΟΣ ΣΥΛΛΟΓΟΣ ΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

λειτουργῶν· εὐχὰς δὲ ἀναπέμπων πρὸς Κύριον, ὑπὲρ τῶν πίστει ἀνευφημούντων σε.

Καὶ νῦν τῆς Θεοτόκου.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν

τὰ τυπικά, καὶ ἐκ τοῦ κανόνος τοῦ ἁγίου ᾠδὴ Γ'. καὶ ΣΤ'.

Ὁ Ἀπόστολος.

(Ἀδελφοὶ εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας).

Τὸ Εὐαγγέλιον.

(Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων κτλ.)

Κοινωνικὸν τῆς Θεοτόκου.

Μεγαλυνάριον τοῦ ἁγίου.

Τὸν ἐν ἱεράρχαις ἱερουργόν, μύστην τοῦ Δεσπότου, καὶ ἐν Ἱεροσολύμοις θαυματουργόν, ῥῦσαι ἡμᾶς αἰωνίως, καὶ φύλαττε εὐχαῖς σου Ἰουβεναλιε ἔνδοξε.

Καὶ τῆς Θεοτόκου.

Δέξαι μου τὴν δέησιν Μαριάμ, καὶ τοὺς δακρυρρόους στεναγμούς μου, μῆτερ ἁγνή, καὶ ἐκ τῶν παγίδων ἐχθροῦ με σῶσον κόρη, ἐν σοὶ γὰρ τὴν ἐλπίδα τίθημι Δέσποινα.

Τὴν ἐσθῆτα πάντες τὴν ἱεράν, καὶ τὴν σεπτὴν Ζώνην, τῆς Θεοπαιδος Μαριὰμ προσκυνοῦντες πίστει σωζόμεθα παντοίων, καὶ νόσων καὶ κινδύνων αὐτῆς τῇ χάριτι.

ΤΗ῾ 8Η῾ ΙΟΥΛΙΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΠΡΟΚΟΠΙΟΥ

Εἰς τὸν ὄρθρον· κάθισμα ἦχος πλάγ. δ'.

Τὴν σοφίαν καὶ λόγον.

Οὐρανόθεν τὴν κλῆσιν μάρτυς λαβών, ὡς ὁ Παῦλος ὁ θεῖος παρὰ Χριστοῦ σκεῦος ἐχρημάτισας ἐκλογῆς παναοίδιμε, τῶν ἐχθρῶν γενναίως, καθεῖλες τὸ φρύαγμα, τοῦ Χριστοῦ τῷ ζήλῳ σοφὲ πυρπολούμενος, ὅθεν καὶ τῇ πίστει καταλλήλως τῇ κλήσει, προκόπτων ἐνήθλησας, καὶ λαοὺς διὰ πίστεως τῷ μαρτυρίῳ προσήγαγες, ἀθλοφόρε Προκόπιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα τὸ αὐτό· καὶ νῦν· Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἀλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε, χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα, χαῖρε ἔνδοξε νύμφη Ἡλιοστάλακτε· χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

Μετὰ τὴν δ'. στιχ. κάθισ. ἦχ. δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τῇ πανοπλίᾳ τοῦ σταυροῦ γενναιόφρων, ἐνδεδυμένος παρετάξω ἐμφρόνως, τῷ δυσμενεῖ, καὶ ἔλυσας, τὴν δύναμιν αὐτοῦ,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΕΥΓΕΝΙΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ κατετραυμάτισας, τῶν δαιμόνων τὰ στίφη, σθένει δυναμούμενος, τοῦ Χριστοῦ στρατιώτα, καὶ νικηφόρος ὤφθης ἀθλητής, ὅθεν σε πάντες τιμῶμεν Προκόπιε.

Δόξα τὸ αὐτό· καὶ νῦν Θεοτοκ. ὅμοιον.

Μετὰ τὸν πολυέλαιον· κάθισμα ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Τῶν ἀγώνων προκόπτεις μάρτυς σοφέ, καὶ κοσμούμενος πίστει πανευκλεῶς, ἐχθρῶν δὲ διέτρεψας μηχανὰς καὶ ἠφάνησας, καὶ καλῶς ἐκτελέσας, τὸν δρόμον τὸν ἔνθεον, παραδείσου ὕψος, γηθόμενος ἔφθασας· ὅθεν ἐκκλησία, προκοπῇ εὐσεβείας, ἀστράπτουσα σήμερον, ἑορτάζει τὴν μνήμην σου, καὶ βοᾷ σοι Προκόπιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα· καὶ νῦν· Θεοτοκίον.

Τὴν οὐράνιον πύλην.

Οἱ ἀναβαθμοὶ τοῦ δ΄. ἦχου· Εὐαγγέλιον μαρτυρικόν· καὶ τὰ λοιπὰ τοῦ Μηναίου.

ΤΗ Ι 22ᾳ ΙΟΥΛΙΟΥ

ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ

ΜΑΡΙΑΣ ΤΗΣ ΜΑΓΔΑΛΗΝΗΣ

Κάθισμα α΄. ἦχος πλ. δ΄.

Κύριε παρίστατο τῷ τάφῳ σου Μαρία ἡ Μαγδαληνή, καὶ ἔκλαιε βοῶσα, καὶ κηπουρόν σε νομίζουσα ἔλεγε· ποῦ ἔκρυψας τὴν αἰώνιον ζωήν; ποῦ ἔθηκας τὸν ἐπὶ θρόνου χερουβίμ; οἱ γὰρ τοῦτον φυλάσσοντες ἀπὸ τοῦ φόβου ἀπενεκρώθησαν· ἡ τὸν Κύ-

ριόν μου δότε μοι, ἢ σὺν ἐμοὶ κραυγάσατε, ὁ ἐν νεκροῖς, καὶ τοὺς νεκροὺς ἀναστήσας δόξα σοι.

Δόξα τὸ αὐτό· καὶ νῦν· Θεοτοκίον.

Προϊστορεῖ ὁ Γεδεὼν τὴν Σύλληψιν, καὶ ἑρμηνεύει ὁ Δαυὶδ τὸν τόκον σου Θεοτόκε· κατέβη γὰρ ὡς ὑετὸς ἐπὶ πόκον, ὁ λόγος ἐν τῇ γαστρί σου, καὶ ἐβλάστησας ἄνευ σπορᾶς, γῆ ἁγία, τοῦ κόσμου τὴν σωτηρίαν, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἡ Κεχαριτωμένη.

Μετὰ τὴν δ΄. στιχολ. κάθ. ἦχος ὁ αὐτός.

Τοῦ τάφου ἀνεῳγμένου, τοῦ Ἅδου ὀδυρομένου, ἡ Μαρία ἐβόα πρὸς τοὺς κεκρυμμένους Ἀποστόλους, ἐξέλθετε οἱ τοῦ ἀμπελῶνος ἐργάται, κηρύξατε τὸν τῆς Ἀναστάσεως λόγον· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα τὸ αὐτό· καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Παρθένε, ἱκέτευε τὸν υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν Σαυρῷ, καὶ ἀναστάντα ἐκ νεκρῶν Χριστὸν τὸν Θεὸν ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὸν πολυέλ. κάθισμα, ἦχος γ΄.

Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Μύρα σὺν δάκρυσι, θερμῶς προσήγαγες, μυρίσαι σπεύδουσα, νεκρὸν ἐν μνήματι, κατατεθέντα δι' ἡμᾶς Χριστὸν τὸν ζωοδότην, τοῦτον καθικέτευε, νεκρωθεῖσαν τοῖς πάθεσι, ψυχήν μου τὴν τάλαιναν, τοῦ ζωῶσαι καὶ ῥύσασθαι, παθῶν τῆς δυσωδίας Μαρία παῤῥησίαν ὡς ἔχουσα πρὸς Κύριον.

Δόξα· καὶ νῦν· τὴν ὡραιότητα τῆς παρθ.

Οἱ ἀναβαθμοὶ τοῦ δ΄. ἦχου.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγος αὐτῆς.

Τὸ Εὐαγγέλιον.

Δόξα ταῖς τῆς Μυροφόρου· καὶ νῦν ταῖς τῆς Θεοτόκου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Καὶ τὸ Ἰδιόμελον ἦχος β΄.

Ἦλθον ἐπὶ τὸ μνημεῖον, ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, ζητοῦσαι τὸν Κύριον, καὶ τὸν Ἄγγελον εἶδον, ὡσεὶ ἀστραπήν, καθεζόμενον ἐπὶ τὸν λίθον, καὶ λέγοντα αὐταῖς, τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν τεθνεώτων; ἀνέστη καθὼς εἶπεν, ἐν Γαλιλαίᾳ αὐτὸν εὑρήσετε, πρὸς ὃν βοήσωμεν, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Εἰς τοὺς αἴνους ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν.

Ὤφθη ἡ πανήγυρις ἡμῖν, τῆς θεοπρεποῦς Μυροφόρου, Μαγδαληνῆς τῆς σεπτῆς, ἄλλως ὡς παράδεισος, πηγὴν παρέχων ζωῆς, τὰ τῆς χάριτος νάματα, ὁμῶρύζουσα κόσμῳ, βρύει τῆς ἐγέρσεως Χριστοῦ τὰ ῥεῖθρα θερμῶν, στίφη τῶν πιστῶν ἐκβοῶντα· δόξα σοι τῷ δόντι ἡμῖν τὴν αὐτοῦ, ἀνάστασιν τοῖς πέρασι.

Δίς.

Ὅτε ἐπεζήτει σε Χριστέ, λίαν τὸ πρωΐ ἡ Μαρία, τὴν τῶν ἁπάντων ζωήν, μῦρα καὶ ἀρώματα, ἔχουσα εἴρχετο, καὶ τῷ πόθῳ δακρύουσα, ἤκουεν ἐκ τάφου, νεανίου λέγοντος, τὴν σὴν Ἀνάστασιν, θάῤῥους ἐμπλησθεῖσα ἀπῆλθε· χαίρουσα τοῖς πᾶσιν ἔβοα, ὅτι ἐξεγήγερται ὁ Κύριος.

Ῥήματα ἀκούσασα χαρᾶς, ἐκ τῶν ἐν τῷ μνήματι λόγου, προκαθημένων νοῶν, δρόμον ἐπεδείξατο, σπουδαιοτέρας ὁρμῆς καὶ τὴν τάξιν ἐάσασα, τῆς πρὶν Μυροφόρου, ὡς Εὐαγγελίστρια ἐθεωρήθη τρανῶς, ἔγερσιν ἐξ Ἅδου κευθμώνων, τοῖς αὐτοῦ κηρύττουσι μύσταις, ὑπὲρ ἡμῶν ἐνανθρωπίσαντος.

Δόξα· ἦχος πλ. δ΄.

Τὰ τῆς Μαρίας δάκρυα, οὐ μάτην χεῖνται θερμῶς, ἰδοὺ γὰρ κατηξίωται, καὶ διδασκόντων Ἀγγέλων, καὶ τῆς ὄψεως τῆς σῆς ὦ Ἰησοῦ, ἀλλ' ἔτι πρόσγεια φρονεῖ, οἷα γυνὴ ἀσθενής· διὸ καὶ ἀποπέμπεται, μὴ προσψαῦσαί σοι, Χριστέ, ἀλλ' ὅμως κήρυξ πέμπεται, τοῖς σοῖς μαθηταῖς, οἷς εὐαγγέλια ἔφησε, τὴν πρὸς τὸν πατρῷον κλῆρον, ἄνοδον ἀπαγγέλουσα, μεθ' ἧς ἀξίωσον καὶ ἡμᾶς, τῆς ἐμφανείας σου, Δέσποτα Κύριε.

Καὶ νῦν· Δέσποινα πρόσδεξαι.

Δοξολογία Μεγάλη.

ΤΗΙ 9Η ΑΥΓΟΥΣΤΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΜΑΤΘΙΑ

Δοξαστικὸν τῶν κεκραγαρίων ἦχ. δ΄.

Τοὺς τῆς ἀπάτης ἄξονας, τῆς κακίας τὰ ἅρματα, Ματθία Ἀπόστολε Χριστοῦ, ἅρμα θεῖον γεγονώς, εἰς τέλος ἐλέπτυνας, εἰδωλικούς τε προῤῥίζως στύλους καὶ ναούς, δυνάμει θείᾳ κατηδάφισας, ναοὺς δὲ θείους πάνσοφε, τῆς τριάδος εἰργάσω, πάντας τοὺς πιστεύσαντας, τῷ σῷ ἐνθέῳ κηρύγματι, διό περ τοὺς τὴν μνήμην σου τελοῦντας πιστῶς, πάσης ἀνάγκης καὶ θλίψεως, σαῖς ἱκεσίαις ἐλευθέρωσον.

Καὶ νῦν τῆς ἑορτῆς.

Εἰς τὸν ὄρθρον· κάθισμα ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὁ οὐρανὸς ὁ λογικός, νῦν ἐπέφανε, Θεοῦ τὴν δόξαν ἐμφανῶς διηγούμενος, ἡ ἀστραπὴ τοῦ πνεύματος Ματθίας ὁ κλεινός, λύχνος ὁ πολύφωτος φωταυγίας τῆς θείας, τοῦτον ἀνυμνήσωμεν, ὡς Χριστοῦ μύστην πάντες, ἵνα παντοίων θλίψεων εὐχαῖς, αὐτοῦ ῥυσθῶμεν, καὶ σκότους καὶ κολάσεως.

Δόξα τὸ αὐτό· καὶ νῦν τῆς ἑορτῆς.

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΕΥΑΓΓΕΛΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Μετὰ τὴν 6΄. στιχολ. κάθ. ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Αὐτόπτα τοῦ Χριστοῦ, τῶν Σοφῶν Ἀποστόλων, τῷ κλήρῳ ἀληθῶς τῇ χορείᾳ τῇ τούτων, ἀξίως συνηρίθμησας, καὶ τὸν χῶρον ἐξεπλήρωσας, οὗ ἐκπέπτωκεν ὁ δολιόφρων Ἰούδας, καὶ ἐκήρυξας, τὸ Εὐαγγέλιον πᾶσι, Χριστοῦ τὸ σωτήριον.

Δόξα τὸ αὐτό· καὶ νῦν τῆς ἑορτῆς.

Μετὰ τὸν πολυέλαιον· κάθισμα ἦχος γ΄.

Θείας πίστεως.

Θείαν ἔλλαμψιν ἐκ τοῦ Κυρίου, εἰσδεξάμενος, Ματθία μάκαρ, τῶν σοφῶν δωδεκάδων ἐκ θείῳ κλήρῳ, συναριθμούμενος, τοῦ λόγου κῆρυξ γέγονας, καὶ τὰ ἔθνη ζωγρίζων, πρὸς φῶς ἀείζωτον μετήγαγες, αὐτὸν ἐκτενῶς ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα· καὶ νῦν τῆς ἑορτῆς.

Οἱ ἀναβαθμοὶ τοῦ 6΄. ἤχου.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Τὸ Εὐαγγέλιον.

Τὸ Ἰδιόμελον ἦχος πλάγ. 6΄.

Τὴν κτίσιν ὡς ἀετὸς ὑψιπέτης διῆλθες, Ματθία πανεύφημε, μαθητὰ τοῦ Σωτῆρος, καὶ Ἀπόστολε· καὶ τὴν πλάνην τῶν εἰδώλων, τοῖς πυριφθόγγοις σου δόγμασιν, ὡς ὕλην πᾶσαν καταφλέξας, τὰ ἔθνη ἐξ ἀγνωσίας βυθοῦ πρὸς τὴν θείαν γνῶσιν μετήγαγες, καὶ νῦν πρέσβευε Χριστῷ, ὅπως ἵλεως γενήσηται ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Εἰς τοὺς αἴνους ἦχ. 6΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Στόμα τοῦ λόγου γενόμενος πυρίπνουν, ἐκ φάρυγγος ἥρπασας, ἀνθρωποκτόνου Σατᾶν, οὗς περ δεινῶς πρὶν κατέπιε, βρο-

τοὺς ἰσχύσας Ματθία κῆρυξ Χριστοῦ πανόλβιε, καὶ βρῶμα εἰργάσατο τῆς ἑαυτοῦ ἀπηνῶς, κακίας πάσης ἠδύτατον, τούτους Κυρίῳ, διὰ τοῦ θείου λουτροῦ προσήγαγες, αὐτῷ βοῶντας καὶ κραυγάζοντας, σῶσον ἡμᾶς πολυέλεε, καὶ τῆς σῆς βασιλείας καταξίωσον ὡς εὔσπλαγχνος. **Δές.**

Φίλον σε ἔφη ὁ Κύριος τῆς δόξης, Ματθία Ἀπόστολε, καθυπουργοῦντα θερμῶς, αὐτοῦ τοῖς θείοις προστάγμασι, καὶ κληρονόμον τῆς βασιλείας αὐτοῦ πανένδοξε, καὶ θεῖον συγκάθεδρον ἐν τῇ μελλούσῃ φρικτῇ ἡμέρᾳ ὄντως τῆς κρίσεως, τῆς δωδεκάδος τῶν μαθητῶν Χριστοῦ τὸ συμπλήρωμα, μεθ' ὧν δὴ φεῖσαι ἡμῶν τῶν δούλων σου, ἐν ἡμέρᾳ τῆς δίκης, ἐλευθέρωσον τῶν πιστῶς ἑορταζόντων τὴν ἱεράν σου πανήγυριν.

Ἱστίῳ μάκαρ, σταυροῦ, Χριστοῦ αὐτόπτα τοῦ βίου τὴν θάλασσαν, τὴν ἀγριαίνουσαν, σὺ διελθὼν κῆρυξ ἔφθασας, πρὸς τοὺς λιμένας, τῆς ἀναπαύσεως καὶ παρίστασαι, νῦν χαίρων Ἀπόστολε, τῷ ἀκροτάτῳ σαφῶς, τῶν ἐφετῶν· διὸ πρέσβευε, Χριστῷ ἀπαύστως, ὑπὲρ τῶν πίστει ἀνευφημούντων σε, καὶ τὴν σὴν μνήμην πανοίδιμε, γεραιρόντων μετόχους ποιήσασθαι, τῆς αὐτοῦ βασιλείας, ὦ Ματθία, πανσεβάσμιε.

Δόξα, ἦχος πλαγ. 6΄.

Ματθία Ἀπόστολε Χριστοῦ, ἅλας θεῖον ἐβλήθης, εἰς τὸν κόσμον πανένδοξε, τοῖς νοστίμοις διδάγμασιν, ἐκκαθαίρων ἅπασαν, τὴν σηπεδόνα τῆς πλάνης, καὶ ἐκδιώκων τὰς νόσους τῶν ψυχῶν, καὶ σωμάτων θείᾳ χάριτι, ἔπεισας τοὺς ἀνθρώπους, τοῖς τοῦ Δεσπότου νόμοις καθυπείκειν, καὶ τῇ τῆς γλώττης σου σαγήνῃ, τὰ ἔθνη πάντα συλλαβών, ἐκ βυθοῦ τῆς ἀγνωσίας, τῷ Χριστῷ προσεκόμισας· διὸ καὶ τοῖς τὴν μνήμην σου τελοῦσι πιστῶς, δωρηθῆναι αἴτησαι τῶν πταισμάτων ἱλασμόν, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν τῆς ἑορτῆς.

Δοξολογία Μεγάλη καὶ τὰ λοιπὰ τοῦ Μηναίου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΤΟΜΟΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΗ῾ 20Η῀ ΑΥΓΟΥΣΤΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΠΡΟΦΗΤΟΥ ΣΑΜΟΥΗΛ

Εἰς τὰ κεκραγάρια. Δόξα ἦχος πλ. α΄.

῾Εορτὴ χαρμόσυνος, ἐπέλαμψε σήμερον, ἡ πανσεβάσμιος μνήμη τοῦ θειοτάτου Σαμουὴλ, καὶ θεηγόρου προφήτου· οὗτος γὰρ δι' εὐχῆς βλαστήσας, ἐξ ἀγόνου μητρός, ῎Αννης τῆς Θεόφρονος, καὶ ταῖς ὑψηλαῖς πράξεσι, τὸν βίον ἐλλαμφθείς, θεράπων Κυρίου ἀνεδείχθη· καὶ τοῦ ἰδίου λαοῦ κριτὴς ᾽Εννομώτατος, τὰ πόρρω προβλέπων ὡς ἐγγύς, καὶ προλέγων τα μέλλοντα, καὶ τῷ θείῳ χρίσματι ἀντὶ Σαούλ, τὸν πραότατον καὶ Θεοπάτορα Δαβὶδ, εἰς βασιλέα καὶ προφήτην τοῦ ᾽Ισραὴλ ἐναπέδειξε· καὶ νῦν πρεσβεύει ἀδιαλείπτως, ὑπὲρ ἡμῶν πρὸς Κύριον, τῶν τὴν θείαν μνήμην αὐτοῦ, ἐκτελούντων τὴν σεβάσμιον.

Καὶ νῦν τῆς ἑορτῆς.

Εἰς τὴν λιτήν· στιχ. ἰδιόμελα ἦχος α΄.

῾Ο ἐκ προφήτιδος Προφήτης, καὶ ἐκ βρέφους ἱερὸς Σαμουὴλ, σήμερον ταῖς ἀκτῖσι τῆς σεπτῆς αὐτοῦ μνήμης, πάντας ἡμᾶς συνεγείρει εἰς πανήγυριν πνευματικήν· διὸ δὴ εὐσεβοφρόνως συνελθόντες, τὴν σεβάσμιον αὐτοῦ μνήμην καρδίας εὐθύτητι ἐκτελέσωμεν· ἵνα ἐν αὐτῇ ἐλλαμφθέντες τὸν νοῦν δι' αὐτοῦ, ἀπροσκόπτως τὰς ὁδοὺς τοῦ Κυρίου βηματίζοιμεν.

῾Ο αὐτός.

Προφῆτα θειότατε νοῦ καθαρότητι, τὴν ἀκτῖνα τῆς θεαρχικωτάτης αἴγλης εἰσδεξάμενος, προσημάντωρ θείων λογίων, καὶ ὑποφήτης θεῖος γέγονας, ὁ γὰρ τὰ πάντα βλέπων ὡς Θεός, τῶν μελλόντων τὴν γνῶσιν, θεοπρεπῶς σοι προφαίνει, καὶ θαυμαστῶς ἀξιοῖ, ὡς πάλαι τὸν Μωϋσῆν θείας ὁμφῆς, αὐτῷ οὖν παριστάμενος, ἱκέτευε ἀδιαλείπτως, φωτισμὸν δωρήσασθαι καὶ ἡμῖν, τοῖς ἐν πίστει τελοῦσι τὴν πάνσεπτον μνήμην σου.

῞Ηχος δ΄.

Πολιὰ τοῖς ἀνθρώποις φρόνησις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος φησί που ἡ Σοφία· ἀλλὰ σὺ τὸ παιδάριον, συνετώτερος τῆς πολιᾶς τοῦ ᾽Ηλὶ δεικνύμενος, καὶ τοῦ πρεσβύτου σεμνότερος ὁ νέος διαβιῶν, ἔργῳ τὸν λόγον ἀπέφηνας, διὸ κἀκείνου σὲ ὁ Θεὸς προτετίμηκε, καὶ θείας ἐπιφανείας ἠξίωσε, διδάσκων ὅσῳ πολιᾶς ἀμείνων, νεότης κοσμουμένη ἀρετῇ· δι' ἧς ἐπὶ γῆς ἀεὶ κοσμούμενος, καὶ ἀκεραιότητι καλλωπιζόμενος, ὡς ᾽Ααρὼν ἱερωσύνῃ διέπρεψας, καὶ λαμπρυνθεὶς τὴν καρδίαν τῷ Πνεύματι, τὰ πόρρω ὡς ἐνεστῶτα διέβλεψας· νῦν δὲ ἐν οὐρανῷ εἰς φωτοειδεῖς κατασκηνώσας μονάς, βλέπεις πρόσωπον πρὸς πρόσωπον, ἃ βλέπουσι Προφῆται, ᾽Απόστολοι καὶ πάντες Δίκαιοι, θεούμενος μεθέξει θεόσοφε.

Δόξα ἦχος δ΄.

Προφητικὴν πανήγυριν, ἡ ἐκκλησία τοῦ Χριστοῦ χαρμονικῶς ἄγει σήμερον. Σαμουὴλ γὰρ ὁ ἁγιώτατος τοῦ Θεοῦ Προφήτης, συγκαλεῖται ἡμᾶς, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς σεβασμίας αὐτοῦ μνήμης, ἀσματικῶς βοῆσαι πρὸς αὐτόν· χαίροις ὁ θεόθεν στειρευούσῃ τῇ μητρὶ παραδόξως δωρηθείς· χαίροις ὁ τρὶς ἡ τετράκις φωνῆς θείας ἀκουσθείς, παραδηλούσης σοι τὴν κατὰ τῶν παρανομούντων ἐκδίκησιν· χαίροις ὁ παιδιόθεν προφήτης ἀξιάγαστος τοῦ Θεοῦ, καὶ κριτὴς ἐνδοξότατος τοῦ ᾽Ισραηλιτικοῦ λαοῦ· χαίροις ὁ προφητικοῖς ὄμμασι προϊδών, τὸ σεπτὸν καὶ μέγα τῆς ἐνανθρωπίσεως μυστήριον, ὃν καθικέτευε προφητῶν θειότατον ἐγκαλλώπισμα, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὰ ἀπόστιχα, ἦχος δ΄.

῾Ως γενναῖον ἐν μάρτυσι.

Κοσμηθεὶς τῷ ἐνδύματι, ᾽Ααρὼν εἰς τὰ ῞Αγια, προφητῶν συνόμιλε, εἰσελήλυθας, θυσίας φέρων τὸ πρότερον, Θεῷ παντο-

ΙΕΡΑ ΜΟΝΗ ΠΑΤΜΟΥ ΙΕΡΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΣΧΟΛΗ ΕΡΓΟΔΗΓΩΝ ΠΑΤΜΙΑΔΟΣ

κράτορι, προσηλούσας τὴν Χριστοῦ, ἐν τῷ ξύλῳ καθήλωσιν, δι' ἧς εὗρατο, τῶν ἀνθρώπων τὸ γένος σωτηρίαν, καὶ Ἀγγέλων αἱ δυνάμεις, τοῖς γηγενέσι συμμίγνυνται.

Στιχ. Μὴ ἅπτεσθε τῶν Χριστῶν μου. κτλ.

Τῷ Θεῷ προσκολλώμενος, καὶ φρονήσει κοσμούμενος, καὶ Ἀγγέλων ἄϋλον ἐνδεικνύμενος, βίον πανένδοξε ἐσχηκας, Ἀγγέλους ὡς ἄσαρκος, συλλαλοῦντας ἐμφανῶς, καὶ μυοῦντάς σε πάντιμε, πᾶσαν μύησιν, τῶν Θεοῦ μυστηρίων ὦ Προφῆτα Σαμουὴλ διὸ τὴν μνήμην, τὴν σὴν πιστῶς ἑορτάζομεν.

Στιχ. Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελ.

Λογισμῷ εἰσδεχόμενος, καθαρῷ παμμακάριστε, τὰς αὐγὰς τοῦ Πνεύματος, οἷα ἔνθεος, Προφήτης ἔφης τὰ μέλλοντα, τοῖς πᾶσι καὶ γέγονας, ἀκηλίδωτον Θεοῦ, καὶ λαμπρότατον ἔσοπτρον, ὅθεν πάντες σε κατὰ χρέος τιμῶμέν σοι βοῶντες, μὴ ἐλλείπῃς τοῦ πρεσβεύειν, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

Δόξα ἦχος γ'.

Μέγιστον δῶρον Σαμουὴλ, ἐκπληροῦσα τὴν εὐχήν, ἡ τεκοῦσά σε προσάγει, τῷ ἐπουρανίῳ Δεσπότῃ· θείας δὲ παρ' αὐτοῦ ἐκφαντορίας δεξάμενος, καὶ προφητεύσας ἐμφανέστατα, θεὸν ἐθεράπευσας, κατὰ τὴν τάξιν Ἀαρών, τας θυσίας προσφέρων, σκεῦος γενόμενος τοῦ παναγίου πνεύματος, διανοίας ὡραιότητι, καὶ πραότητι καρδίας· ὅθεν καὶ ἡμεῖς τὴν μνήμην σου σήμερον, πιστῶς πανηγυρίζοντες, αἰτούμεθά σου ἐκτενῶς προφῆτα πανσέβαστε, ἱλασμὸν ἁμαρτιῶν ταῖς ψυχαῖς ἡμῶν, καὶ φωτισμὸν καταπεμφθῆναι, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν τῆς ἑορτῆς.

Ἀπολυτίκιον.

Τοῦ λίθου σφραγισθέντος.

Τῆς προφήτιδος Ἄννης σὺ παράδοξον βλάστημα, καὶ τοῦ Ἁγίου Πνεύματος ἅγιον ἐνδιαίτημα, ἐδείχθης παμμάκαρ Σα-

μουήλ, λειτουργός τε τοῦ Κυρίου ἀξιάγαστος· διὸ ἐν τῷ ναῷ ὑπνοῦντί σοι προσφωνεῖ καὶ ἐκφάντορα τῶν θείων προχειρίζεται· δόξα τῷ δεδωκότι σε τῇ Μητρί, δόξα τῷ συνετίσαντι, δόξα τῷ διαγγέλλοντι διά σοῦ, τα θεῖα αὐτοῦ προστάγματα.

Εἰς τὸν ὄρθρον μετὰ τὴν α'. στιχολ. κάθισμα· ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ὁ θεῖος Σαμουήλ, ὁ ἐξ Ἄννης βλαστήσας, προφήτης λειτουργός, ἀνεδείχθη Κυρίου, προλέγων τα μέλλοντα, τῇ ἐμπνεύσει τοῦ Πνεύματος, καὶ προστάγματι, θείῳ κριτὴς ἀπεφάνθη, τοῦ λαοῦ αὐτοῦ, καὶ νῦν πρεσβεύει ἀπαύστως σωθῆναι τας ψυχας ἡμῶν.

Δόξα τὸ αὐτό· καὶ νῦν τῆς ἑορτῆς.

Κάθισμα δ'. ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Δεῦτε τὰ πλήθη, τῶν πιστῶν κατα χρέος, ἀνευφημήσωμεν, τὸν γόνον τῆς Ἄννης, μυσταγωγὸν φανέντα μυστηρίων τοῦ Θεοῦ, Σαμουὴλ τὸν ἔνδοξον, καὶ σεπτὸν θεηγόρον, οὗτος καὶ γαρ ἔχρισε, βασιλεῖς ἔθνους θείου ἀλλ' ἐκτενῶς καὶ νῦν ὑπὲρ ἡμῶν, σὺν τοῖς προφήταις, πρεσβεύει πρὸς Κύριον.

Καὶ νῦν τῆς ἑορτῆς.

Μετὰ τὸν πολυέλαιον κάθ. ἦχος γ'. θείας πίστεως.

Θείῳ Πνεύματι, πεφωτισμένος, προεμύνησας τα πόρρω ὄντα καὶ μακράν, ὡς ἐνεστῶτα τρισόλβιε· ψυχοφθόρων οὖν παθῶν ἡμᾶς ἀπάλλαξον, παριστάμενος τῷ θρόνῳ τῆς Θεότητος, τοὺς τιμῶντάς σε πιστῶς, προφῆτα ἔνδοξε, καὶ λαμπρότητος, πρεσβείαις σου ἀξίωσον.

Καὶ νῦν τῆς ἑορτῆς.

Οἱ ἀναβαθμοὶ τοῦ δ'. ἦχου τὸ Α'. ἀντίφωνον· τὸ Εὐαγγέλιον.

Τὸ ἰδιόμελον· ἦχος δ'.

Τὴν σεβάσμιον μνήμην, ἐπιτελοῦντες Κύριε, τοῦ ἐνδόξου Σου προφήτου Σαμουήλ, δι' αὐτοῦ σοῦ δεόμεθα, τοῦ καταπέμψαι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἡμῖν, τοῖς ἀναξίοις δούλοις σου, πλούσια τὰ ἐλέη σου, καὶ ἀξιώσαι πάντας ἡμᾶς, τῆς οὐρανῶν βασιλείας, μετα πάντων τῶν Ἁγίων, προσκυνεῖν σε διὰ παντός, σὺν τῷ πατρί σου, καὶ τῷ Ἁγίῳ Πνεύματι.

Εἰς τοὺς αἴνους ἦχος α'.

Τῶν οὐρανίων ταγμάτων.

Τῇ διπλοΐδι τῆς πάλαι, ἱερωσύνης λαμπρῶς, ἐστολισμένος μάκαρ, ἐλειτούργεις ἀμέμπτως, Θεῷ καὶ τὰς ἐμφάσεις εἰλικρινῶς, εἰσδεχόμενος ἔλεγες, τῶν ἑπομένων τὴν δήλωσιν προφανῶς, ὡς προφήτης ἀληθέστατος.

Ὡς ἱερεὺς τοῦ ὑψίστου, καὶ τοῦ λαοῦ κηδεμών, ἔχρισας θείᾳ νεύσει, βασιλεῖς πρὶν ποιμένειν λαὸν τὸν τοῦ Κυρίου, οὕτω καὶ νῦν, τοὺς πιστοὺς καθοδήγησον, ἐπὶ νομας ζωηφόρους τὰς τοῦ Χριστοῦ, ἀεννάως, τούτους νέμεσθαι.

Τὴν σὴν τιμῶμεν προφῆτα, σήμερον μνήμην φαιδρῶς, αἰτούμενοι εὐχαῖς σου, τοῦ ῥυσθῆναι κινδύνων, καὶ πάσης τριβολίας, τῶν δυσχερῶν, ἐπιόντων τοῖς δούλοις σου, καὶ συνθλιβόντων ἑκάστοτε ἀφειδῶς, ὧν ἐξάρπασον δεόμεθα.

Σὲ προβαλλόμεθα πρέσβυν, πρὸς τὸν φιλάνθρωπον Θεόν, καὶ βασιλέα τοῦ παντός, θεοφόρε, εἰρήνης ἀξιοῦντες, καὶ τῶν δεινῶν, ἀπολύτρωσιν λήψεσθαι, καὶ συμμετόχους γενέσθαι τῆς οὐρανῶν, βασιλείας παναοίδιμε.

Δόξα ἦχος πλαγ. α'.

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, τὴν ἐτήσιον μνήμην, τοῦ θεηγόρου Σαμουήλ, σεπτῶς πανηγυρίσωμεν, καὶ αὐτῷ μελῳδικῶς ἐκβοήσωμεν· χαίροις προόπτα τοῦ ὑψίστου, καὶ λειτουργὲ τῶν μυστηρίων αὐτοῦ, σὺ γὰρ δι' εὐχῆς γεννηθείς, Ἄννης τῆς θεοφρονος, ἐκ παιδὸς τῷ Θεῷ ἀφιέρωσαι, ὑψηλαῖς δὲ θεωρίαις, καὶ πράξεσιν ὑψωθείς, τὸν νόμον Κυρίου διετάξω καλῶς, προσφέρων θυσίας τὰς νομικάς, τοῦ Χριστοῦ προτυπούσας σφαγὴν τὴν σωτήριον· ὅθεν καὶ ὀνομάζῃ δαβιτικῶς, ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα Κυρίου, ὡς φυλάσσων αὐτοῦ τὰ μαρτύρια, καὶ τὰ προστάγματα, ἃ ἔδωκέ σοι· διὸ καὶ οὗτος εἰσήκουεν, ἐπικαλουμένου σου, ἀλλ' ὦ προφῆτα τρισόλβιε, ὡς ἔχων παῤῥησίαν πρὸς αὐτόν, ὑπὲρ ἡμῶν ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν τὴν μνήμην σου πιστῶς ἐκτελούντων, τοῦ ῥυθῆναι ἡμᾶς ἐκ πειρασμῶν, καὶ παντοίων κινδύνων, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τῆς ἑορτῆς.

Δοξολογία Μεγάλη. Καὶ τὰ λοιπὰ τοῦ Μηναίου.

Τὴν πλήρη ἀκολουθέαν τοῦ προφήτου Μωϋσέως εἰ βούλει, ὅρα εἰς τὴν περὶ τοῦ ὄρους Σινᾶ περιγραφήν.

Ἔγραφον ἐν Ἱερουσαλὴμ τῇ 8 Ἀπριλίου 1890.

ΑΝΘΙΜΟΣ ΠΡΩΤΟΣΥΓΓΕΛΟΣ ΓΑΒΡΑΣ

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΕΥΑΓΓΕΛΟΣ ΚΑΡΑΤΖΑΦΕΡΗΣ ΚΑΙ ΣΤΑΥΡΟΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΠΑΡΑΡΤΗΜΑ

ΗΤΟΙ

ΠΕΡΙΓΡΑΦΗ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ

Ἐν τῷ Ἱερῷ Ναῷ τῆς τοῦ Κυρίου ἡμῶν Ἀναστάσεως γενομένων τελετῶν.

Τῆς Ἁγίας καὶ Μεγάλης Παρασκευῆς ἑσπέρας ἐν τῷ Ἐπιταφίῳ.

Τῷ Μ. Σαββάτῳ κατὰ τὴν ὥραν τοῦ Ἁγίου Φωτός.

Τῇ Κυριακῇ τοῦ Μ. Πάσχα.

Τῆς Δευτέρας Ἀναστάσεως κτλ.

Καὶ ἀποδείξεις τινὲς περὶ τῆς ἀληθείας τοῦ Ἁγίου Φωτός.

Α΄. Περὶ τῆς τάξεως τοῦ Ἐπιταφίου.

Τῷ Ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ ὥρᾳ τετάρτῃ πρὸ μεσονυκτίου εἰς τὸν ὄρθον μετὰ τὴν συνήθη ἀκολουθίαν, ἐκ τοῦ ἱεροῦ βήματος τοῦ Ναοῦ τῆς Ἀναστάσεως ἄραντες τὸν Ἐπιτάφιον καὶ ψάλλοντες μετὰ μέλλους τὰ ἀρχαῖα προσόμοια, **εἰς ἦχον Β΄. «Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.»**

«Δεῦτε ἀναβῶμεν οἱ πιστοί, ἐπὶ τὸ πανάγιον ὄρος, τοῦ Γολγοθᾶ τοῦ φρικτοῦ, ἵνα ἐποπτεύσωμεν τὸν βασιλέα Χριστόν· τοῦ σταυροῦ καταγόμενον, καὶ ἐπὶ τῶν ὤμων, σεπτῶς ἐπαιρόμενον τοῦ βουλευτοῦ Ἰωσήφ· φόβῳ τε βοήσωμεν πάντες, τῇ συγκαταβάσει σου δόξα, καὶ τῇ εὐσπλαγχνίᾳ σου μακρόθυμε.

»Ὅτε σὲ λαὸς ὁ ἀπειθής, ἐν τῷ Γολγοθᾷ ἐπὶ ξύλου Σῶτερ ἀνήρτησε, πάντα τὰ οὐράνια ἔφριξαν τάγματα, καὶ αἱ πέτραι ἐρράγησαν, ἡ γῆ ἐκλονήθη, ἐσκοτίσθη ἥλιος ὅλως μὴ σθένοντα· βλέπειν σε νεκρούμενον λόγε, τὴν ζωὴν ἡμῖν παρασχόντα καὶ πλημμελημάτων τὴν συγχώρησιν.

»Σὲ τὸν σαρκωθέντα δι' ἡμᾶς, ἔφερε ποτὲ ἐπὶ ὤμων, μνήστωρ κλεινὸς Ἰωσήφ, νῦν δὲ νεκρωθέντα σε ἐπὶ τοῦ ξύλου σταυροῦ, Ἰωσὴφ ἄλλος φέρει σε, σμύρνῃ τε ἀλόῃ ὅπως τὸ πανάχραντον σῶμα μυρῖσαι σεπτῶς, ὅθεν καὶ ἡμεῖς συνελθόντες, Σοῦ τὰ πάθη λόγε ὑμνοῦμεν, καὶ τὴν συγκατάβασιν δοξάζομεν.

»Λίθῳ Ἰωσὴφ σωματικῶς, σὲ τὸν ἐν ὑψίστοις συνόντα τῷ προαναρχῳ πατρί, καὶ ἀναβαλλόμενον φῶς ὡς ἱμάτιον, τοῦ κηδεῦσαι ἐπείγεται, καὶ μύροις μυρῖσαι σὲ τὸν τὸ ἀκένωτον μύρον ὑπάρχοντα, ὅθεν καὶ ἡμεῖς μετὰ φόβου, χαίροντες τὰ σὰ προσκυνοῦμεν, πάθη πολυέλεε Σωτὴρ ἡμῶν.

»Ὅτε ὁ εὐσχήμων βουλευτής, ἐκ τοῦ σταυρικοῦ σε καθεῖλε ξύλου τὴν πάντων ζωὴν σμύρνῃ καὶ ἀρώμασι Χριστὲ ἐνείλισε, καὶ τῷ πόθῳ ἐπείγετο τὸ σὸν λόγε σῶμα, σεπτῶς περιπτύξασθαι τὸ Πανακήρατον, ὅμως συνεχόμενος φόβῳ ἐν χαρᾷ ἀνεβόα, δόξα, τῇ συγκαταβάσει σου μακρόθυμε.»

Ψαλλομένων τε τῶν τροπαρίων τούτων ἀναβαίνουσιν ἐπὶ τὸν Πανάγιον καὶ φρικτὸν Γολγοθᾶν καὶ ἐπιθέσαντες τὸν ἐπιτάφιον ἐπὶ τῆς Ἁγίας Τραπέζης, θυμιάζει αὐτὸν τότε ὁ Πατριάρχης καὶ ψάλλει τὸ «ὁ Μονογενὴς υἱὸς κτλ.» εἶτα ψάλλουσι καὶ τὸ διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, (ἐκ τρίτου) ἔπειτα, τοῦ Κυρίου δεηθῶμεν ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν. Πᾶσα πνοή. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς· εἶτα τὸ σταυρώσιμον Εὐαγγέλιον, ἀναγινώσκεται παρὰ τοῦ Πατριάρχου, καὶ μετὰ γίνεται ἐκτενὴς καὶ μνημονεύονται τὰ βασιλικὰ ὀνόματα· ἔπειτα. «Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν ταύτην», εἶτα ἡ τετραδέκατος Κύριε ἐλέησον. «Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς, Κύριε ἐλέησον ἐκ τρίτου. «Ἐπάκουσον ἡμῶν ὁ Θεὸς κτλ. καὶ ἐκφωνῆται ὁ λόγος. Μετὰ δὲ τὸ τέλος αὐτοῦ εὐλογήσαντος τοῦ Πατριάρχου ψάλλουσι τό: Εἰς πολλὰ ἔτη κτλ. εἶτα καταβαίνοντες ἐκ τοῦ Γολγοθᾶ ψάλλουσι τὰ παρόντα προσόμοια. «Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν ὁ ἀπὸ Ἀριμαθείας» κτλ. καὶ ἔρχονται εἰς τὴν Ἁγίαν Ἀποκαθήλωσιν, ἔνθα ποιοῦντες τρεῖς κύκλους, ὁ Πατριάρχης μετὰ τῶν Ἀρχιερέων ψάλλουσι τό: «Ὁ εὐσχήμων Ἰωσὴφ» κτλ. καὶ τιθέασι τὸν ἐπιτάφιον ἐπὶ τῆς Ἁγίας Ἀποκαθηλώσεως· εὐθὺς δὲ ἀναγινώσκεται τὸ εὐαγγέλιον τῆς Ἀποκαθηλώσεως παρὰ τοῦ Πατριάρχου, εἶτα ὁ εὐταξίας ῥαίνει τὸν Ἐπιτάφιον μὲ

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓΙΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ροδοστάγματα· μετὰ δὲ τὴν ἐκτενὴν αὖθις κηρύττεται λόγος Ἀραβιστὶ ἢ Τουρκιστί, μετὰ τὸ τέλος αὐτοῦ ψάλλοντες τό: «Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς» κτλ. καὶ «Τὸν ἥλιον κρύψαντα» κτλ. βαδίζουσιν ὁ Πατριάρχης μετὰ τῶν Ἀρχιερέων καὶ λοιπῶν Ἱερέων πρὸς τὸ λιτανεῦσαι περὶ τὸν Πανάγιον τάφον καὶ ποιοῦντες κύκλους τρεῖς, καὶ μετὰ τὸ τέλος εἰσέρχονται ἔνδοθεν τοῦ Ἁγίου Κουβουκλίου, οἱ κρατοῦντες δὲ Ἀρχιερεῖς τὸν Ἐπιτάφιον μετὰ τοῦ Πατριάρχου, θέτουσιν αὐτὸν ἐπὶ τοῦ Ἱεροῦ μνήματος τοῦ Σωτῆρος, ὁ δὲ Πατριάρχης ἀφ' οὗ θυμιάσῃ τὸ Ἱερὸν τοῦ Σωτῆρος μνῆμα, καὶ τὸν ἐπ' αὐτῷ Ἱερὸν Ἐπιτάφιον ἄρχεται ψάλλειν τό: «ἡ ζωὴ ἐν τάφῳ». Ἐξερχόμενος δὲ ἐκ τοῦ Ἱεροῦ μνήματος ἤτοι τοῦ καλουμένου Κουβουκλίου θυμιάζει τοὺς Ἀρχιερεῖς, τὸν κλῆρον, ἅπαντα τὸν λαόν, οἱ δὲ Ἀρχιερεῖς καὶ ὁ κλῆρος, ψάλλουσι τὰ ἐπιτάφια ἐγκώμια. Μετὰ δὲ τὸ τέλος τῶν εὐλογηταρίων, καὶ τῆς αἰτήσεως, ἐκφωνεῖται λόγος Ἑλληνιστὶ παρὰ τοῦ Ἱεροκήρυκος· καὶ μετὰ τὸ τέλος, ἄρχονται οἱ αἶνοι, τὸ Δοξαστικόν, καὶ δοξολογία μεγάλη, εἰς δὲ τὸ τρισάγιον ἄραντες τὸν Ἐπιτάφιον ἐκ τοῦ Ἁγίου Κουβουκλίου καὶ διὰ μέσου τοῦ Ναοῦ ἤτοι τοῦ Καθολικοῦ εἰσέρχονται εἰς τὸ ἱερὸν Βῆμα ψάλλοντες τό: «ὁ εὐσχήμων Ἰωσὴφ» (ἐκ τρίτου) ποιοῦσι τρεῖς κύκλους πέριξ τῆς Ἁγίας Τραπέζης, εἰς δὲ τὸ «κηδεύσας ἀπέθετο» θέτουσι τὸν Ἐπιτάφιον ἐπὶ τῆς Ἁγίας Τραπέζης καὶ εὐθὺς ψάλλεται τὸ τροπάριον τῆς προφητείας, καὶ ἀναγινώσκεται ἡ προφητεία, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον παρὰ τοῦ Πατριάρχου εἶτα ἐκτενής, τὸ πληρώσωμεν ἑκῴ. «Ὅτι Θεὸς ἐλέους». «Εἰρήνη πᾶσι τοῖς κεφαλὰς ἡμῶν». Σὸν γὰρ ἐστί. Σοφία· ὁ ὢν εὐλογητός, καὶ γίνεται ἀπόλυσις παρὰ τοῦ Πατριάρχου.

Β΄. Περὶ τῆς τάξεως τοῦ Ἁγίου Φωτός.

Τὸ Μ. Σάββατον ὥρᾳ τρίτῃ (κατὰ τούρκους) πρὸ μεσημβρίας, σημαίνει ὁ κώδων τῆς ἐκκλησίας τοῦ Μοναστηρίου, συναχθέντων δὲ τῶν ἀδελφῶν καὶ τοῦ Πατριάρχου, γενομένου δὲ εὐλογητοῦ ἀναγινώσκονται αἱ ὧραι λιταί, καὶ ἐκτελεῖται ἡ θεία λειτουργία τοῦ Μ. Βασιλείου· μετὰ δὲ τὸ τέλος τῆς λειτουργίας ἀπέρχεται ὁ Πατριάρχης εἰς τὸ Πατριαρχεῖον, οἱ δὲ Ἀρχιερεῖς καὶ οἱ ἀδελφοὶ εἰς τὰ ἑαυτῶν κελλία· περὶ ὥραν δ' ἕκτην καὶ ἡμίσειαν τῆς ἡμέρας σημαινόντων τῶν κωδώνων λυπηρῶς, ὡς ἐν κηδείᾳ, καὶ συναθροισθέντων τῶν ἀδελφῶν ἐν ὁρισμένῳ τόπῳ ἐν τῷ Μοναστηρίῳ, ἐλθόντος δὲ τοῦ Πατριάρχου ἐν τῷ οἰκείῳ τόπῳ περὶ

ὥραν ἑβδόμην, κατέρχονται ἅπαντες εἰς τὸν Ναὸν τῆς Ἀναστάσεως καὶ διευθύνονται πρὸς τὸ ἱερὸν Βῆμα, ἡ δὲ εἴσοδος μετὰ μεγάλης δυσκολίας ἀνοίγεται κατ' αὐτὴν ἕνεκα τοῦ πολυαρίθμου λαοῦ, διότι ὁ Ναὸς πρὸ δύο ἡμερῶν πληροῦται ἐκ διαφόρων ἐθνῶν. Στρατὸς πολυάριθμος, ὑπὸ τῆς κυβερνήσεως ἀποστελλόμενος καὶ ὑπὸ τὴν διάθεσιν τῶν ἀρχηγῶν τῶν διαφόρων χριστιανικῶν φυλῶν τεταγμένος, ἵσταται κατὰ διστοιχίαν πέριξ τοῦ Ἱεροῦ Κουβουκλίου καὶ εἰς τὰ κεντρικώτερα τοῦ Ναοῦ μέρη, σχηματίζων οὕτω διόδους, δι' ὧν διέρχονται τὰ πλήθη. Ἡ παρουσία τῶν στρατιωτῶν τούτων σκοπεῖ τὴν τήρησιν τῆς εὐταξίας, ἥτις ἄνευ εἰδικῆς τῆς ἐξουσίας ἐπιτηρήσεως, εἶναι ἀδύνατον νὰ φυλαχθῇ μεταξὺ τοσούτων φυλῶν καὶ λαῶν. Ἐκείνῃ δὲ τῇ ὥρᾳ καθ' ἣν κλήρου τε λαοῦ στρατοῦ τε καὶ ἀξιωματικῶν πάντων ἐν ἀγωνίᾳ εὑρισκομένων, μόνον τῶν ἐπιτοπίων Ὀρθοδόξων αἱ φωναὶ ἀκούονται, ὅτι ὁ Πατριάρχης εἰσῆλθεν ἐντὸς τοῦ Ναοῦ· τό: εἰσῆλθεν ἐντὸς τοῦ Ναοῦ ὁ Πατριάρχης σημαίνει, ὅτι ἐπλησίασεν ἡ ὥρα τῆς ἐμφανίσεως τοῦ Ἁγίου Φωτός· οἱ Δαμασκηνοὶ καὶ οἱ ἐκ Χαλεπίου καὶ οἱ Ἱεροσολυμῖται Ὀρθόδοξοι φωνάζοντες καὶ χειροκροτοῦντες λέγουσι τὸ κατὰ τὴν ἑαυτῶν γλῶσσαν «χάδαλ καπὶρ σιέδνα», δηλ. αὐτὸς εἶνε ὁ τάφος τοῦ Δεσπότου μας Χριστοῦ καὶ πλεῖστα ἄλλα ἐγκώμια· οἷον τὸ «ἐξ αὐτοῦ πηγάζει τὸ ἅγιον φῶς»· πρὸς τούτοις ἐγκωμιάζουσι καὶ τὸ ἡμέτερον Μοναστήριον λέγοντες ὁ Θεὸς διαφυλάττοι τὸ ἡμέτερον Μοναστήριον εἰς αἰῶνας. Μετά τινα λεπτὰ εἰσερχόμενοι οἱ Ἐπίτροποι τῶν ἐθνῶν, ἤτοι Ἀρμενίων, Ἰακωβιτῶν καὶ Ἀβυσσινῶν, εἰς τὸ ἡμέτερον Ἱερὸν Βῆμα, λαμβάνοντες καιρὸν παρὰ τοῦ Πατριάρχου ἀσπάζονται τὴν δεξιὰν αὐτοῦ, ἵνα μετάσχωσι τῆς τελετῆς. Ἡ ἐθιμοτυπία αὕτη βασίζεται ἐπὶ τῶν ῥητῶν διαταξέων τῶν παρ' ἡμῖν Σουλτανικῶν ὁρισμῶν διαδηλοῦσα τὴν ἰδιοκτητικὴν κυριαρχίαν τοῦ ἔθνους ἡμῶν ἐπὶ τοῦ Ναοῦ τοῦ Ἁγίου Τάφου. Μετὰ δὲ τὴν ἔξοδον τῶν προρρηθέντων Ἀρμενίων καὶ λοιπῶν ἐθνῶν, ἔρχονται οἱ ἐντόπιοι κατὰ πατρικὴν κληρονομίαν νὰ λαμβάνωσι τὰς 13 προωρισμένας διὰ τὴν ἡμέραν αὐτὴν σημαίας· ἤτοι (παϊράκια), διὰ τὴν λιτανείαν τοῦ Ἁγίου Φωτός, τότε ὁ Πατριάρχης ἐνδύεται ἅπασαν τὴν ἀρχιερατικὴν αὐτοῦ στολήν, καθὼς καὶ 12 ἱερεῖς σὺν τέσσαρσιν ἱεροδιακόνοις, ἵνα ἔλθωσιν εἰς λιτανείαν, ὅθεν ἐξερχόμενοι τοῦ Ἱεροῦ Βήματος διευθύνονται πρὸς τὸ ἅγιον Κουβούκλιον ἄνευ φώτων προπορευομένων τῶν σημαιῶν καὶ ἐπευφημοῦντος τοῦ πλήθους, αἴφνης δὲ ἐν τῷ μέσῳ τοῦ γενικοῦ θορύβου καὶ τῆς μεγάλης βοῆς ἀκούεται ἡ γλυκεῖα καὶ πολυπόθητος μελῳδία «Τὴν Ἀνάστασίν σου Χριστὲ Σωτήρ», τὸ ὁποῖον ψάλλουσιν πολλάκις μέχρις οὗ ποιήσωσι τοὺς τρεῖς κύκλους πέριξ τοῦ ἁγίου Κουβουκλίου. Πλησιά-

ΕΘΝΙΚΟΝ ΜΟΥΣΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

σαντος δὲ τοῦ Πατριάρχου ἀπέναντι τῶν θυρῶν τοῦ Ἁγίου Κουβουκλίου, ἔρχονται οἱ διωρισμένοι ὀθωμανοὶ καὶ ἀνοίγουσι τὰς πύλας, ἃς ἐσφράγισαν πρότερον οὗτοι· τότε ὁ μὲν κλῆρος ἐπιστρέφει εἰς τὸ Ἱερὸν Βῆμα, ὁ δὲ Πατριάρχης ἐκδυθεὶς τὴν Ἀρχιερατικὴν στολὴν πλὴν τοῦ στηχαρίου καὶ τοῦ ἐπιτραχηλίου εἰσέρχεται εἰς τὸν Πανάγιον Τάφον καὶ μετὰ φόβου καὶ κατανύξεως κλίνας τὰ γόνατα προσεύχεται καὶ ἀναγινώσκων εὐχὴν δέεται, ἵνα τὸ ἐκ τοῦ Παναγίου Τάφου διανεμηθησόμενον ἅγιον φῶς εἴη τοῖς μετ' εὐλαβείας λαμβάνουσι χάριτος παρεκτικόν. Ἤδη βαθεῖα σιγὴ διαδέχεται τοὺς πρὸ μικροῦ ἀχανεῖς τοῦ Ναοῦ διαστάσεις δονοῦντας ἀλαλαγμούς· ἀγωνία ἄῤῥητος καταλαμβάνει τὸν ὄχλον ἀπὸ περάτων ἕως περάτων, ἅπαντες ἐν ἐκείνῃ τῇ στιγμῇ τὴν διάνοιαν ἔχοντες πρὸς τὸν ὕψιστον καὶ περιμένοντες τὸ ἔλεος, δέονται αὐτοῦ ἵνα ἔλθῃ ἐπ' αὐτοῖς ἡ θεία χάρις τοῦ Παναγίου φωτός, μόνον μυστικῶς προφέροντες τὸ Κύριε ἐλέησον· ἀκολούθως τὴν στιγμὴν ἐκείνην σὺν τῷ ἡμετέρῳ διερμηνεῖ εἷς ἐκ τῶν ἀρχιερέων ἡμῶν ὡς καὶ τῶν Ἀρμενίων εἰσέρχονται εἰς τὸν θαλαμίσκον ὅπου καλεῖται Ἅγιος λίθος, ἔνθα ἱστάμενοι, καὶ ἔχοντες τὸ βλέμμα αὐτῶν προσηλομένον ἔνδοθεν τοῦ ἱεροῦ μνήματος ἀναμένουσι τὴν ἔξοδον τοῦ πατριάρχου· μετὰ τὸ τέλος τῆς εὐχῆς ὁ πατριάρχης μετὰ πάσης εὐλαβείας ἀσπάζεται τὸν Ἅγ. Τάφον, ὅπου ἐτέθη νεκρὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ζῶν ἐξῆλθε, καὶ λαμβάνει τὸ ἅγ. φῶς· ἐξερχόμενος δὲ τοῦ θαλαμίσκου καὶ ἔχων τὰς χεῖρας σταυροειδῶς καὶ κρατῶν τὸ ἅγ. φῶς, ψάλλει, τό, «Φῶς ἱλαρὸν» εὐλογῶν καὶ ἁγιάζων τὸν λαὸν καὶ διὰ μὲν τῆς δεξιᾶς χειρὸς δίδει τῷ ἡμετέρῳ ἱερεῖ διὰ δὲ τῆς ἀριστερᾶς τῷ Ἀρμενίῳ ἀρχιερεῖ, ὁ δὲ ἡμέτερος ἱερεύς, λαβὼν τὸ ἅγ. φῶς ἐντὸς ἀργυροῦ πυρσοῦ μεταφέρει αὐτὸ εἰς τὸ ἱερὸν βῆμα καὶ ἐγχειρίζει τῷ σκευοφύλακι τοῦ ναοῦ τῆς Ἀναστάσεως, ὅστις ἱστάμενος εἰς τὴν παραπρόθεσιν μεταδίδει πᾶσι τοῖς ἐν τῷ ἱερῷ βήματι εὑρισκομένοις τὸ ἅγ. φῶς. Εἷς δὲ τῶν ἀρχιερέων σπεύδει ὁρομαίως εἰς τὰ βημόθυρα καὶ ἀπ' αὐτοῦ μεταδίδει τῷ λαῷ τὸ ἅγ. φῶς. Κατὰ τὴν στιγμὴν ἐκείνην καθ' ἣν πέμπεται ὑπὸ τοῦ Πατριάρχου εἰς τὸ ἱερὸν βῆμα τὸ ἅγ. φῶς, οὗ ἡ λάμψις μόλις ἐξερχομένου τῆς θυρίδος τοῦ ἁγ. Κουβουκλίου, βλέπεις διὰ μιᾶς ἀπονεκροῦται ὁ βαθυκύμων καὶ πολυπάταγος ἐκεῖνος χείμαρρος· μόλις λεπτά τινα παρέρχονται, καὶ αἴφνης βοὴ συμμιγής, ἰαχὴ οὐρανομήκης καὶ θεσπεσία, συνταράττουσα δεινῶς τὰ νεῦρα, καὶ ἱκανὴ τῷ ὄντι νὰ σχίσῃ τὸ καταπέτασμα τοῦ ναοῦ ἀπὸ ἄνωθεν ἕως κάτω σείει τοὺς ὑψηλοὺς ὄλους τοῦ ναοῦ· εὐθὺς ἠχοῦσιν οἱ κώδωνες, κτυποῦσι τὰ βαρέα σήμανδρα, βοῶσι τὰ τύμπανα, ἀλαλάζουσι τὰ κύμβαλα, ἀκούει τις βοὴν καὶ φωνήν, αἰσθάνεται εὐφροσύνην χαράν

τε καὶ ἀγαλλίασιν· ὢ πόσον ζωηρὰ καὶ ἀξιοθέατος εἶνε ἡ στιγμὴ ἐκείνη εἰς τοὺς θεατάς! τότε βλέπει τις τὰ πρόσωπα ὅλων τῶν ἀνθρώπων φαιδρά, ὁ εἷς ἀσπάζεται τὴν δεξιὰν τοῦ ἄλλου, ἄλλος δίδει τὸν ἐν Χριστῷ ἀσπασμόν, ἄλλος δὲ ἐκ τῆς χαρᾶς δακρυῤῥοεῖ, ἕτεροι ἀναμιμνήσκονται τοὺς προαπελθόντας γονεῖς καὶ συγγενεῖς των, ἄλλοι δὲ κλαίουσι διότι δὲν ἠξιώθησαν οἱ γονεῖς αὐτῶν νὰ ἴδωσι τὴν ἁγίαν ταύτην ἡμέραν· ἐκείνην δὲ τὴν ὥραν ἐχθροὶ συμφιλιώνονται, ἅπαντες μιᾷ ψυχῇ καὶ καρδίᾳ γίνονται· τῷ ὄντι νομίζουσιν ἐκείνην τὴν στιγμὴν ὅτι εὑρίσκονται ἐν οὐρανοῖς, ἔνθα ὑπάρχουσι τὰ ἀνεκλάλητα ἀγαθὰ τοῦ ὑψίστου· ὢ πόσον μεγάλη καὶ ζωηρὰ ἐμφανίζεται ἡ συγκίνησις τοῦ ἀπειραρίθμου ἐκείνου πλήθους! ἐπὶ τῶν προσώπων τῶν ὁποίων φαίνεται ἀνέκφραστος θυμηδία, καὶ δάκρυα χαρᾶς χύνουσι πάντες ἀναλογιζόμενοι ὅτι ὄντως εἰσὶ θεαταὶ σεβασμίας καὶ ἱερᾶς τελετῆς ἣν ἐκ νεαρᾶς των ἡλικίας ἐπόθουν νὰ ἴδωσι τὴν θέαν τῆς μυστηριώδους ἐκείνης τελετῆς· εἶνε ἀδύνατον νὰ μὴ συγκινήσῃ καὶ τὸν ψυχρότερον αὐτὸν θεατήν. Ἐν στιγμῇ τὸ ἅγιον φῶς διαδίδεται εἰς ἅπαντα τὰ μέρη τοῦ ναοῦ εἰς τὰ ἄνω καὶ τὰ κάτω, καὶ εἰς τὰς ἀπωτάτας αὐτοῦ γωνίας ἀπ' ἄκρων μέχρις ὅπων γίνεται ὅλος ὁ ναὸς ἀπὸ φῶς μία θάλασσα ὁ δὲ πρό τινων στιγμῶν οὐδ' ἓν φῶς ἔχων ναὸς φωτίζεται διὰ μιᾶς ἀπὸ 37 χιλ. περίπου φώτων κανδηλῶν καὶ λοιπῶν πολυελέων· καὶ ὄντως κατ' ἐκείνην τὴν στιγμὴν ἐκπληροῦται τοῦ μελῳδοῦ τῆς ἁγ. ἐκκλησίας Ἰωαν. τοῦ Δαμασκηνοῦ τὸ ποίημα· «Νῦν πάντα πεπλήρωται φωτὸς οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια κτλ.». Μετὰ παρέλευσιν λεπτῶν τινων ἐξέρχεται ὁ Πατριάρχης ἐκ τοῦ ἁγίου Κουβουκλίου, κρατῶν ἀνημμένας δεσμίδας κηρίων, καὶ τότε τριάκοντα περίπου τὸν ἀριθμὸν λευκοφόροι ἄνδρες μετ' εὐφημιῶν συνοδεύουσιν αὐτὸν διὰ μέσου τοῦ πλήθους ἕως ὅτου φθάσῃ εἰς τὸ ἱερὸν βῆμα. Τὴν τελετὴν ἐπισφραγίζει ἡ ἔναρξις τῆς λειτουργίας τοῦ Μεγάλου Σαββάτου, ὁ δὲ λαὸς αὐθωρεὶ διασκορπίζεται μὲ ἀνημμένα κηρία εἰς χεῖρας. Οἱ δὲ ἀπεσταλμένοι ἐκ τῶν περιχώρων τῆς Ἱερουσαλὴμ παραλαμβάνοντες ἐν φανοῖς τὸ ἅγιον φῶς, μετακομίζουσιν αὐτὸ ὁρομαῖοι εἰς τὰ χωρία των, ὅπου οἱ κάτοικοι ὑπαντῶσιν αὐτοὺς μετ' εὐφημιῶν, χειροκροτήσεων καὶ ἀλαλαγμῶν. Ἀπὸ τῆς στιγμῆς ταύτης ἅπαντα τὰ τέως ἐσβεσμένα φῶτα τῶν ἔν τε Ἱεροσολύμοις καὶ τοῖς περιχώροις ἐκκλησιῶν ἀνάπτονται. Οἱ δὲ ἐξερχόμενοι ἐν ταῖς χερσὶν μετὰ ἀνημμένων λαμπάδων θεωροῦνται κατ' ἐκείνην τὴν στιγμὴν ὡς ὑπαντηταὶ τοῦ νυμφίου καὶ φωτοφόρου Χριστοῦ· ὥστε δικαίως ἁρμόζει αὐτοῖς τὸ παρὰ τοῦ μελῳδοῦ ψαλλόμενον ποίημα: «ὡς ὄντως ἱερὰ καὶ πανέορτος κτλ.». καὶ τὸ «προσέλθωμεν λαμπαδηφόροι τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος κτλ.».

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μετὰ τὴν ἀπόλυσιν τῆς λειτουργίας ἀπέρχονται οἱ πατέρες εἰς τὰ ἴδια, καὶ λαμβάνουσι τεμάχιον ἄρτου κατὰ τὴν διάταξιν τοῦ τυπικοῦ τοῦ ἁγ. Σάββα, καὶ κατ' ἀρχαίαν παράδοσιν τῶν ἁγ. πατέρων· διότι μέχρις ἑσπέρας νηστεύουσι· τινὲς δὲ αὐτῶν ἀρχίζουσι τὴν νηστείαν ἀπὸ τὸ ἑσπέρας τῆς Μ. Πέμπτης μέχρι τοῦ Μ. Σαββάτου ἑσπέρας.

Γ'. Περὶ τῆς τάξεως τῆς Μ. Κυριακῆς τοῦ Πάσχα.

Τῇ Ἁγίᾳ καὶ Μ. Κυριακῇ ὥρᾳ τρίτῃ πρὸ μεσονυκτίου σημαίνουσι τὰ σήμανδρα μέχρι τῆς τετάρτης ὥρας. Ἐν τῷ διαστήματι δὲ τούτῳ δύο Ἱεροδιάκονοι καὶ θυμιάζουσιν ὅλον τὸν ναὸν καὶ τὰ προσκυνήματα (α). Τῇ τετάρτῃ δὲ ὥρᾳ κατέρχεται ὁ Πατριάρχης καὶ οἱ Πατέρες εἰς τὸν Ναὸν καὶ ἀμέσως παύουσιν τὰ σήμανδρα. Εὐλογητοῦ δὲ γινομένου, τὸ βασιλεῦ οὐράνιε. Τρισάγιον κτλ. ὁ Ν. ψαλμὸς, εἶτα ψάλλεται ὁ κανὼν τοῦ Μ. Σαββάτου· εἰς μὲν τὴν τρίτην ᾠδὴν, λαμβάνουσι καιρὸν οἱ Ἱερεῖς καὶ Ἱεροδιάκονοι καὶ ἐνδύονται τὰ χρυσόλευκα ἱερατικὰ, εἰς δὲ τὴν ἕκτην ᾠδὴν λαμβάνει καιρὸν ὁ Πατριάρχης καὶ εἰσέρχεται εἰς τὸ Ἱερὸν Βῆμα, παρ' οὗ λαμβάνουσιν καὶ οἱ Ἀρχιερεῖς καιρὸν καὶ ἐνδύονται συγχρόνως τὰ χρυσόλευκα ἀρχιερατικὰ, εἰς δὲ τὴν ἐννάτην ᾠδὴν τοῦ κανόνος ἐξέρχονται οἱ Ἀρχιερεῖς καὶ οἱ Ἱερεῖς εἰς τὸ Καθολικὸν καὶ ἵστανται ἔνθεν καὶ ἔνθεν στιχηδὸν, ἐκ τοῦ Ἱεροῦ δὲ ποιεῖ τὴν ἔναρξιν τῆς λιτανείας ὁ Πατριάρχης ψάλλων τὸ χαρμόσυνον τροπάριον « τὴν Ἀνάστασίν σου Χριστὲ Σωτὴρ » καὶ βαδίζει μετὰ τοῦ κλήρου πρὸς τὸ ἅγιον Κουβούκλιον, καὶ ἀφοῦ ποιήσωσι τρεῖς κύκλους, ὁ Πατριάρχης πλησιάσας ἔμπροσθεν τοῦ κουβουκλίου, καὶ προσκυνήσας τρὶς στρέφει πρὸς Ἀνατολὰς, ὁ δὲ Ἀρχιδιάκονος ἐκφωνεῖ τό: καὶ ὑπὲρ τοῦ καταξιωθῆναι· καὶ ἀναγινώσκεται τὸ Εὐαγγέλιον παρὰ τοῦ Πατριάρχου (Ὀψ. Σαββάτων) μετὰ δὲ τὸ τέλος τοῦ Εὐαγγελίου εὐθὺς εἰσέρχεται ἐντὸς τοῦ Παναγίου Τάφου καὶ προσκυνήσας τὸ πανάγιον καὶ ζωοδόχον μνῆμα καὶ θυμιάσας ἐκφωνεῖ τὸ (δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ κτλ.) καὶ ψάλλει τὸν χαρμόσυνον καὶ παγκόσμιον ὕμνον τὸ «Χριστὸς Ἀνέστη» κατὰ τὸν τύπον τῆς Ἐκκλησίας. Ὢ πόσον λαμπρὰ καὶ χαρμόσυνος φαίνεται ἐκείνη ἡ στιγμὴ εἰς τὰς αἰσθήσεις τοῦ ἀπειραρίθμου λαοῦ! Πῶς σοι φαίνεται

(α) ΣΗΜ. Ὅτι αὕτη ἡ τάξις τοῦ θυμιάματος γίνεται καθ' ἑκάστην ἡμέραν δὶς πρὸ τοῦ μεσονυκτίου εἰς τὸν ὄρθρον καὶ μετὰ μεσημβρίαν πρὸ τοῦ Ἑσπερινοῦ εἰς μὲν τὰς καθημερινὰς εἷς Ἱεροδιάκονος θυμιᾷ, εἰς δὲ τὰς Δεσποτικὰς ἑορτὰς δύο Ἱεροδιάκονοι.

ἀκροατά, καθ' ἣν ἡμέραν ἑορτάζει ἡ ἐκκλησία τὴν Ἀνάστασιν τοῦ Σωτῆρος, ἐνώπιον τοῦ Θεοδέγμονος Τάφου, καὶ νὰ ἀκούῃς τὸ Χριστὸς ἀνέστη, τὸν θάνατον πατήσας, συνήγειρεν ἡμᾶς ἐκ τῆς πτώσεως τοῦ πρωτοπλάστου Ἀδὰμ, ἐκεῖ ὅπου ἀνέστη ὁ Σωτὴρ τοῦ κόσμου, ὁ λυτρωτὴς τοῦ παντὸς, πατήσας τὸν θάνατον, ἐσκύλευσε τὸν ᾅδην, ἐκεῖ ὅπου ἐτελεσιουργήθη τὸ μέγα τῆς ἐνσάρκου οἰκονομίας μυστήριον πρὸς σωτηρίαν ἡμῶν, ἐκεῖ βλέπεις πάντα τὰ ἔθνη, ὅπου λαοὶ φυλαὶ καὶ γλῶσσαι, τὰ θεῖα μεγαλεῖα τοῦ Θεοῦ ὁσζολογοῦσι· ἐκεῖ εὐφραινομένη ἡ Σιὼν εὐλογεῖ τὰ συνηγμένα αὐτῆς τέκνα, καθὼς κηρύττει ὁ προφήτης Ἡσαΐας· ὁμοίως καὶ ὁ μελωδὸς τῆς ἐκκλησίας Ἰωάννης ὁ Δαμασκηνὸς «ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν κτλ.» καὶ ὄντως ἐν Χριστῷ ἀδελφοί μου ἀγαπητοὶ, ἂν θεωρήσῃ τις ἐν πνεύματι τὴν στιγμὴν ἐκείνην, τὴν θείαν παράταξιν, τὴν ἐκκλησιαστικὴν ἐκείνην μελωδίαν, θὰ νομίσῃ ὅτι ὑπάρχῃ ἐν οὐρανοῖς ἐν παραδείσῳ χαίρων καὶ εὐφραινόμενος ἐν μέσῳ εὐωδεστάτων ἀνθέων καὶ ἐνοτίζων ἀγγέλους ὑμνούντων τὴν τοῦ Χριστοῦ Ἀνάστασιν. Οἱ δὲ ἡγούμενοι τῶν Μοναστηρίων, τότε ἐκδύονται τὰς στολὰς καὶ ἀπέρχονται εἰς τὰς Μονάς των, ἵνα ἐκτελέσωσιν ἕκαστος τὴν ἱερὰν λειτουργίαν εἰς τὴν Μονὴν αὐτοῦ· ὁ δὲ Πατριάρχης μετὰ τῶν Ἀρχιερέων καὶ τῶν λοιπῶν κληρικῶν ἐκτελεῖ τὴν λειτουργίαν ἐντὸς (α) τοῦ Ἱεροῦ μνήματος.

Τῇ αὐτῇ ἡμέρᾳ περὶ τῆς τάξεως τῆς Β'. Ἀναστάσεως.

Τῇ Ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ, ὥρᾳ πέμπτῃ πρὸ μεσημβρίας συνάζονται οἱ Ἀρχιερεῖς καὶ οἱ Πατέρες εἰς τὸ Πατριαρχεῖον ἔνθα ἐνδύεται ὁ Πατριάρχης καὶ οἱ Ἀρχιερεῖς, ὁμοίως οἱ Ἱερεῖς καὶ Ἱεροδιάκονοι τὰς ἱερατικὰς αὐτῶν στολάς· μετὰ δὲ ταῦτα ἠχούντων τῶν κωδώνων καὶ ψαλλομένου τοῦ « Χριστὸς ἀνέστη » κατέρχονται μετὰ φανῶν καὶ ἐξαπτερύγων ἐν παρατάξει εἰς τὸν ναὸν τῆς Ἀναστάσεως καὶ εἰσελθόντων πάντων εἰς τὸ Ἱερὸν Βῆμα θυμιάζων ὁ Πατριάρχης ἐκφωνεῖ τὸ «Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ κτλ.» κατὰ τὸν τύπον τῆς ἐκκλησίας ψάλλεται τὸ «Χριστὸς ἀνέστη» μετὰ δὲ τὰ εἰρηνικὰ ψαλλομένων τῶν κεκραγαρίων θυμιάζει ὁ Πατριάρχης τὸν Ναὸν καὶ ὅλον τὸν λαὸν προπορευομένων ἔμπροσθεν καὶ ὄπισθεν αὐτοῦ ἀνὰ δύο Ἱεροδιακόνων, μετὰ δὲ τὸ θυμίαμα ὁ Πατριάρχης ἵσταται ἐπὶ τοῦ θρόνου, καὶ οἱ Ἱερεῖς καὶ

(α) Τοῦ Πατριάρχου ἐλλείποντος ὁ πρῶτος τῶν Ἀρχιερέων ἄνευ συνθρόνου εἰς τὰς τελετὰς ταῦτα ποιεῖ καὶ πράττει.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

οἱ Ἱεροδιάκονοι λαμπαδηφοροῦντες ἐξέρχονται εἰς τὴν εἴσοδον, καὶ ἀφοῦ ψάλλουσιν τὸ «Φῶς ἱλαρὸν» εἰσέρχονται εἰς τὸ Ἱερὸν Βῆμα καὶ μετὰ τὸ « Τίς Θεὸς μέγας » λαμβάνουσι καιρὸν οἱ Εὐαγγελισταὶ πρὸς ἀνάγνωσιν τῶν Εὐαγγελίων. Κατὰ πρῶτον δὲ ὁ Πατριάρχης ἀρχίζει νὰ ἀναγινώσκῃ τὸ Εὐαγγέλιον κατὰ περιόδους εἰς γλῶσσαν Ἑλληνικὴν, εἶτα Ῥωσσικήν, Ἡρωϊκήν, Ἰβηρικὴν, Σλαβωνικήν, Ἀραβικήν, Ὀθωμανικήν, Βλαχικήν, Λατινικήν, Γαλλικήν, Ἰταλικήν, Ἀγγλικὴν καὶ Ἀρμενικὴν τελευταῖον δὲ πάλιν ὁ Ἀρχιδιάκονος εἰς τὴν Ἑλληνικὴν, μετὰ τὸ τέλος τοῦ Εὐαγγελίου ἠχοῦσι καὶ πάλιν οἱ κώδωνες, κτυποῦσι τὰ βαρέα σήμανδρα, τὰ τύμπανα, καὶ τὰ κύμβαλα, εἶτα ἄρχεται ἡ ἐκτενὴς, τὸ « Καταξίωσον, τὸ πληρώσωμεν » μετὰ τὴν ἐκφώνησιν, εἴη τὸ κράτος, ἐξέρχεται ὁ Πατριάρχης μετὰ τῶν Ἀρχιερέων εἰς τὸ Καθολικὸν καὶ γίνεται ὁ ἀσπασμός. Κατὰ πρῶτον ἀσπάζεται ὁ κλῆρος, εἶτα οἱ Πρόξενοι, οἱ ὀφίκια φέροντες, καὶ τέλος οἱ προσκυνηταὶ, ἐν πρώτοις ἀσπάζονται τὴν Ἀνάστασιν, τὴν δεξιὰν τοῦ Πατριάρχου καὶ καθεξῆς ἀπέρχονται εἰς τοὺς Ἀρχιερεῖς καὶ ἀσπάζονται τὸ Τίμιον Ξύλον. Εὐαγγέλια καὶ καθεξῆς ἕως οὗ λήξει ὁ ἀσπασμὸς οἱ ψάλται ψάλλουσιν ἀργὰ τὸ «Πάσχα Ἱερὸν» τὸ «Ἀναστάσεως ἡμέρα» καί τινα κρατήματα. Μετὰ τὴν ἀπόλυσιν ἀπέρχονται ἕκαστος εἰς τὰ ἴδια πρὸς ἡσυχίαν. Τῇ Δευτέρᾳ τῆς Διακαινισίμου ὥραν 12 πρωΐας κατέρχεται ὁ Πατριάρχης σὺν τοῖς Ἀρχιερεῦσιν, Ἱερεῦσι καὶ Ἱεροδιακόνοις εἰς τὸν Ναὸν τῆς Ἀναστάσεως καὶ ἐκτελεῖ τὴν θείαν λειτουργίαν εἰς τὸ Καθολικὸν, μετὰ δὲ τὸ τέλος ἐν παρατάξει ἅπαντες οἱ ἀδελφοὶ ἀναβαίνουσιν εἰς τὰ Πατριαρχεῖα καὶ ἀφοῦ γείνει ἡ πρέπουσα ὑποδοχὴ ὑπὸ τῶν ἐν τοῖς πατριαρχείοις ἀσπαζομένων τὴν δεξιὰν τοῦ Πατριάρχου ἀδελφῶν, οἵτινες ἀπερχόμενοι λαμβάνουσι καὶ ἀνὰ δύο ὠὰ ἐρυθρὰ καὶ ἐζωγραφισμένα παρὰ τοῦ Πατριάρχου μετὰ τοῦ καὶ εἰς ἔτη πολλά.

Δ'. Ἀποδείξεις τινὲς περὶ τῆς ἀληθείας τοῦ Ἁγίου Φωτός.

Ἐπειδὴ ἀπὸ πολλῶν ἐτῶν μέχρι τοῦ νῦν πολλὰ ἐλέχθησαν καὶ λέγονται κατὰ τοῦ ἁγίου φωτὸς ὑπὸ τῶν ἀπίστων, οἵτινες ἐκλόνησαν καὶ κλονίζουν τὰς πεποιθήσεις τῶν χριστιανῶν, διὰ τοῦτο καλὸν ἐθεώρησα νὰ ἀναφέρω ἐνταῦθα πρὸς ἄρσιν τῶν ἀμφιβολιῶν, ἀποδείξεις τινὰς θετικὰς, καὶ γεγονότα μαρτυροῦντα τὴν ἀλήθειαν τοῦ ἁγίου φωτός· κατὰ πρῶτον ἀναφέρω τὸν μελῳδὸν Ἰωάννην τὸ Δαμασκηνὸν ὅστις λέγει· « Ἀναστὰς ἐκ τοῦ τάφου ὡς ἀληθῶς ταῖς Ὁσίαις προσέταξας γυ-

ναιξὶ κηρῦξαι τὴν ἔγερσιν Ἀποστόλοις ὡς γέγραπται, καὶ δρομαίως ὁ Πέτρος ἐπέστη τῷ μνήματι καὶ τὸ φῶς ἐν τῷ τάφῳ ὁρῶν κατεπλήττετο κτλ.».

Δεύτερον τὸν Μ. Γρηγόριον τὸν Θεολόγον λέγοντα ὅτι τὸ φῶς τοῦ Μ. Σαββάτου εἶνε ἀντίτυπον τοῦ Μ. φωτὸς καὶ εὐφροσύνως προεόρτιον· ἀνάγνωθι τὸν λόγον οὗ ἡ ἀρχή· « Ἐπὶ τῆς φυλακῆς στήσωμεν»

Τρίτον. Χειρόγραφόν τινα ἐπιστολὴν ἡ ὁποία εὑρέθη ἐν τῇ βιβλιοθήκῃ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου, καὶ ἥτις ἐγράφη κατὰ τὸ 957 ὑπὸ Νικήτα βασιλικοῦ κληρικοῦ ἐπὶ Χριστοδούλου Πατριάρχου Ἱεροσολύμων καὶ τοῦ βασιλέως Κωνσταντίνου τοῦ Πορφυρογεννήτου τοῦ Ζου. εἰς ὃν καὶ ἐπέμφθη. Ἐξεδόθη δὲ εἰς τύπον τοῦ 1807 εἰς τὸ προσκυνητάριον τῆς Ἁγίας Γῆς ὑπὸ τοῦ ἀοιδίμου Χρυσάνθου Καμαράση.

Ἰδοὺ ἡ ἐπιστολή.

« Ἔμελλον ἄρα, ὦ θειότατε βασιλεῦ, μηδὲ ὁ καθ' ἡμᾶς βίος ἄμοιρος »ἔσεσθαι Θεοῦ μεγαλειότητος, ἀλλ' ἐν τῇ κατὰ Χριστοῦ ταπεινώσει σου »τοῖς κατ' ἐποχὴν θαύμασι καὶ φωτοφανείαις, ὡσὰν μὴ πρὸς τὰ ἀρχαῖα »μόνα τῶν ἐξαισίων θαυμάτων, τὸν ὄντως κρατοποιὸν, καὶ μόνον ἀλη»θινὸν Θεὸν ἡμῶν δοξάζεσθαι, ἀλλὰ καὶ διὰ τῆς ἐπὶ χριστωνύμου βασι»λείας σου τελεσιουργηθέντων εὐχαριστεῖσθαι καὶ μεγαλύνεσθαι, ἴσασι »γὰρ ἅπαντες πολῖται καὶ ἐπήλυδες τῶν ἐν τῇ φωσφόρῳ τῆς Ἀνα»στασίμου ἡμέρας κατὰ τὴν τοῦ Κυρίου ὁσίαν ταφήν, κλείαν παράδοξον, »λέγω δὲ τῆς ἐκεῖσε φωτοφανείας ἔλλαμψιν, θείᾳ ἐπιπνοίᾳ γενομένην· »πάλαι γάρ μοι ταύτην κατιδεῖν ἀκορέστως ἐπιποθοῦντι, προσκυνῆσαί τε »τὸ πανίερον ἐκεῖνο καὶ σεβάσμιον ἔδαφος, οὐκ ἀπεπέμψατο τὴν ἐμὴν »δέησιν ἡ θεοφρούρητος βασιλεία σου δῶρον τε χρυσίου παρασχοῦσα, πρὸς »τὸν ἐκεῖσε θεοφιλῆ προέπεμψεν ἀρχιεπίσκοπον· διά τοι τοῦτο καὶ ὁ Θεὸς »ὁ εἰδώς σου τὸ πρὸς αὐτὸν ἀκέραιον τοῦ φρονήματος τῆς τῶν βεβήλων »Ἀγαρηνῶν ἁπάσης βλάβης διετήρησεν ἀνώτερον. Τῇ οὖν ἑβδόμῃ Ἀπρι»λίου μηνὸς Θεοῦ προμηθείᾳ τῷ ἀρχιεπισκόπῳ Χριστοδούλῳ τῆς ἁγίας »πόλεως ἐντυχὼν ἀμ' αὐτῷ διέτριβον, μένων τῆς ἀναστασίμου ἡμέρας »ἰδεῖν τὴν θείαν ἐπιφάνειαν· τοῦ δὲ ἁγίου καὶ μεγάλου Σαββάτου ἐγγί»σαντος ὁ τοῖς καλοῖς ἀεὶ φθονῶν διάβολος οὐκ εἴασεν ἡρεμεῖν ἡμᾶς, ἀλλ' »οἷα ἀνάδην προσέκρουσε τῷ ἀκρογωνιαίῳ λίθῳ Χριστῷ, ἀλλ' αὐτὸς »μᾶλλον συνετρίβη, ἢ συνέτριψεν. Ἀμηρᾶς γάρ τις τοῦ ἀπὸ τοῦ Παγδάτι »περὶ πρώτην ὥραν τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ, ἐκεῖσε παραγενόμε»νος ἅμα τῷ κατὰ τόπον Ἀμηραίῳ ἐπὶ τὸ πραιτώριον ἐχώρησε, θυμοῦ

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟΥ
ΚΕΝΤΡΟΝ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ
ΔΙΑΘΕΣΙΜΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΠΙΤΡΟΠΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

»καὶ μανίας ἀνάπλεως καὶ δὴ παραυτίκα τῷ ἀρχιεπισκόπῳ Χριστο-
»δούλῳ, δεινοί τινες καὶ ὠμοὶ ἄγγελοι τὴν τούτου ἀριξιν διήγγειλον, καὶ
»πρὸς τὸ πραιτώριον ἦγον· ὡς δ' ἔφθασεν ἐκεῖσε ὁ θεοφιλής, καὶ ὄντως
»ἠκριβωμένος ἀρχιεπίσκοπος, ὁ δεινὸς καὶ ἐμβρόντητος Ἀμηραῖος ἔφα-
»σεν, οὐκ ἔξεστί σοι ὦ ἀρχιεπίσκοπε τὴν ἑορτὴν νῦν τελέσαι, τούτου γὰρ
»χάριν ἐνταυθὶ ἀφήγμην, διὰ γὰρ μαγικῆς κακοτεχνίας τὸ θρυλλούμε-
»νον θαῦμα ποιῶν, τὴν Συρίαν πᾶσαν τῆς τῶν χριστιανῶν ἐπλήρωσας
»θρησκείας· καὶ μικροῦ δεῖν Ῥωμανίαν ἀπετέλεσας τὰ ἡμῶν ἔθη ἀνα-
»τρέπων· ὁ δὲ Θεοφιλὴς ἀρχιεπίσκοπος, πραείᾳ τῇ φωνῇ ἀντέλεξεν, εἰ μὲν
»ἅπαξ, ἢ καὶ δὶς πεῖραν εἰλήφατε, οὐκ ἐξ αὐτῶντε τῶν ἔργων μυριάκις
»ἐπιστώθητε, ἀνεκτότερον ἂν ἐδόκει ἡμῖν λέγοντες, ὡς διὰ μαγικῆς τινὸς
»τοῦτο τελεῖται κακοτεχνίας. Ἐπειδὴ καὶ ἐκ τοῦ προϊσταμένου ἀρχι-
»επισκόπου σίδηρον ἀντὶ θρυαλλίδος τῇ προσούσῃ τῷ Ἁγίῳ Τάφῳ κανν-
»δήλα προσεπέταξε, καὶ ταύτην ἀθρόως θείᾳ νεύσει κηροῦ δίκην ἀνα-
»φλεῖσαν ἐθεασάμεθα, μέχρι τίνος τυραννιῶν ἡμᾶς ἐπιχειρῆτε τὸ ὑπερφυὲς
»θαυμαζόμενοι; οἱ δὲ ἐκεῖσε ἑστῶτες γραφεῖς, οὕτω καλούμενοι τῷ κατὰ
»τὸν τόπον Ἀμηραίῳ καθυπουργοῦντες, μέτοχοί τε τῆς ἡμῶν ἀκραιφνοῦς
»πίστεως ὄντες, οὐ καλῶς ποιεῖς ἔλεγον, τῷ μιαιφόνῳ Ἀμηραίῳ, τῷ ἀρχι-
»επισκόπῳ κωλύων τὴν ἐξ ἔθους αὐτῷ ἑορτὴν τελέσαι· ποίῳ γὰρ τρόπῳ τὸ
»βαρυτελὲς τῶν δημοσίων φόρων εἰσπράττεται, εἰμὴ τὸ τὰς νενομισμέ-
»νας αὐτῷ ἑορτὰς συγχωρεῖται τελεῖν; καὶ ὡς εἰ τούτῳ ἐμμείνης τῷ
»λογισμῷ, ἀνενέγκαι ἔχομεν τῷ πρώτῳ συμβούλῳ Συρίας, καὶ οὐ τὴν
»τυχοῦσαν σαυτῷ προξενήσεις ἀγανάκτησιν· ὀργισθεὶς οὖν τοῖς εἰρημέ-
»νοις ὁ δείλαιος ἄλλην μηχανὴν καινοτέραν ἀποβλέπει, ὅλως θυμοῦ καὶ
»μανίας γεγονώς, καὶ χιλιάδας ἑπτὰ χρυσίων ἀφαιρῶν τῷ ἀρχιεπισκόπῳ
»βιάζεται· καὶ ὡς εἰμὴ ταύτας λήψεται, ἀπαραιτήτως μὴ συγχωρήση-
»ται αὐτῷ τὴν ἁγίαν καὶ πάνδημον ἑορτὴν τοῦ Χριστοῦ τελέσαι· Ἀνά-
»στασιν· ὁ δὲ ἀρχιεπίσκοπος ἐπὶ τῇ ἀπορίᾳ μέγα καὶ βαθὺ στενάξας,
»διὰ ξίφους ἀπαλλαγῆναι αὐτὸν τῆς παρούσης ζωῆς τοὺς μιαιφόνους
»ἐβιάζετο, τοῦτο γὰρ καὶ συμφέρον αὐτῷ ἐνομίζετο, ὡς ἂν τῆς αὐτῶν
»κακίας ἀπαλλαγείη· ὁ δὲ ἐν ἀπόροις εὐμήχανος Θεὸς καὶ ἐν ἀσθενεῖ δυ-
»νατός, καὶ ταύτην διέλυσεν τὴν μηχανήν· οἱ γὰρ μνημονευθέντες γρα-
»φεῖς, δύο χιλιάδες χρυσία παρασχόντες, ὡς τὰς πέντε ἐγγυησάμενοι τῷ
»ἀρχιεπισκόπῳ ἀποδοῦναι, τὸ κακομήχανον τοῦ ἐναγοῦς Ἀμηραίου μά-
»ταιον ἀπέδειξαν. Ἐπειδὴ τοῦ ἀρχιεπισκόπου ἐν τούτοις πιεζομένου εἰς
»τὸ πραιτώριον, ὁ τῶν θαυμασίων Θεός, τῇ ἀπεριονήτῳ καὶ ἀμάχῳ αὐ-
»τοῦ δυνάμει, δύο τῶν τοῦ τριφώτου κανδηλῶν θείου φωτὸς ἐπλήρωσε,
»τοῦ κρεμαμένου ἔν τινι τόπῳ, ἐν ᾧ λέγεται τὸ τοῦ Κυρίου καὶ Θεοῦ

»ἡμῶν Τίμιον Σῶμα, ἀπὸ τοῦ Σταυροῦ λουσθῆναι κατενεχθέν· τοῦτο δὲ
»ἐπὶ τοῦ πραιτωρίου ἀγγελθὲν τὸ παράδοξον, παραυτίκα τοῦ τε χριστω-
»νύμου λαοῦ, καὶ τῶν βεβήλων Ἀγαρηνῶν ἡ πληθύς, ἀναμὶξ συνέῤῥεεν
»ἐπὶ τὴν τοῦ Θεοῦ ἁγίαν ἐκκλησίαν ὡς τῶν μὲν ὀρθοδόξων ζέοντι πόθῳ
»καὶ διαπύρῳ πίστει, τῶν δὲ ἀθέων Ἀγαρηνῶν μιαιφόνῳ γνώμῃ, ὡς ὁλε-
»θρίῳ φρονήματι ἐπ' αὐταῖν ταῖν χερροῖν. τῶν μὲν μαχαίρας κατεχόν-
»των, τῶν δὲ λόγχας, ὡς εἴτις τῶν χριστιανῶν φωραθεῖ λαμπάδα κα-
»τέχων φωτός, τοῦτον ἐπ' αὐτῷ τῷ ναῷ διαχειρισθεῖναι· ὁ δὲ πάνσοφος
»ἀρχιεπίσκοπος, ἅμα τῷ σὺν αὐτῷ κλήρῳ, καὶ τοῖς Ἀγαρηνοῖς, ἐπὶ τὸν
»Ἅγιον Τάφον ἔσπευδε τοῦ Κυρίου, καὶ δὴ μικρὸν παρακύψας, ὡς ἔγνω
»μήπω κἀκεῖσε φοιτήσασαν τὴν τοῦ θείου φωτὸς ἔλλαμψιν, σὺν τοῖς βε-
»βήλοις Ἀγαρηνοῖς τὸν θεῖον τάφον ἠσφαλίσατο. κατὰ ἀνατολάς τε
»ὑψώσας τὰς Μωσαϊκὰς ἐκείνας χεῖρας, σὺν τῷ χριστωνύμῳ λαῷ, ἐκτε-
»νῶς καθικέτευε τὸν τῶν ὅλων Θεόν. Περὶ δὲ ὥραν ἕκτην τῆς ἡμέρας τῷ
»θείῳ τάφῳ ἐνατενήσας τοῦ Σωτῆρος, ὁρᾷ τὴν θείαν φωτοφανείαν, δι'
»ἀγγέλου γὰρ αὐτῷ πρόσεστιν ἡ τῆς θύρας εἴσοδος· καιρὸν οὖν λαβὼν
»πρὸς τὸ ἀπ' ἐκείνου τοῦ φωτὸς μεταδοῦναι τοῖς ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ
»μεγάλῃ ἐκκλησίᾳ πολυφωτίοις, καθὼς τοῦτο ποιεῖν εἰώθει, οὕπω τῷ
»τάφῳ ἀνακύψας, καὶ ἐξαπήνης ἦν ἰδεῖν πᾶσαν τὴν τοῦ Θεοῦ Ἐκκλη-
»σίαν ἀνεπάρου θείου φωτὸς πληρωθεῖσαν, ὡς ποτὲ μὲν τὸν εὐσεβῆ λαὸν
»ἐπὶ τῷ δεξιῷ μέρει φέρεσθαι, ποτὲ δὲ ἐπὶ τῷ ἀριστερῷ, ἄλλον ἐπὶ τὰ
»προπύλαια, ἕτερον ἐπὶ τὸν τοῦ Κρανίου τόπον, καὶ ἄλλον ἐπὶ τῇ κρε-
»μαμένῃ σταυροειδῶς ἁλύσει, διὰ τὸ κἀκείνην περιστοιχειοῦσθαι τὰς
»κανδήλας, ἐν ᾗ φέρεται λόγος, τὸν καθ' ἡμᾶς κόσμον μεσάζειν καὶ ση-
»μείου χάριν ταύτην ἐναποκρέμασθαι, ὡς ἐπὶ τῇ ἀπροσδοκήτῳ φωτοφα-
»νείᾳ θάμβους πληροῦσθαι πάντας· ἀλλὰ μὴν καὶ αὐτοὺς τοὺς ἀθέους
»Ἀγαρηνοὺς ἐκπλήξεως καὶ αἰσχύνης ἀπὸ γὰρ τῆς τοῦ Χριστοῦ Ἀναλή-
»ψεως μέχρι τῆς δεῦρο, ἐν μιᾷ τῶν ἐν τῷ Ἁγίῳ τάφῳ οὐσῶν κανδη-
»λῶν, κατ' ἔτος λέγεται γεγενῆσθαι τὴν τοῦ θείου φωτὸς ἔλλαμψιν· ἐν
»δὲ τῷ νῦν χρόνῳ ἀνὰ πᾶσαν τὴν Ἐκκλησίαν ἀναλάμψαι τὴν θείαν
»φωτοχυσίαν, ὡς πάντας μιᾷ φωνῇ τό, τίς Θεὸς μέγας ἐκφωνεῖν, ὡς ὁ
»Θεὸς ἡμῶν, σὺ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος· τοῦ δὲ ἐπαράτου
»Ἀμηραίου ἐν τοῖς Κατηχουμένοις ὄντος, γυμνὴν ἐστιλβωμένην μάχαι-
»ραν φέροντος, καὶ πρὸς τὸν ναὸν προκύπτοντος, θαυματουργεῖται τί ἐξαί-
»σιον καὶ ὑπερθαύμαστον· κανδήλας γὰρ μεγίστης ὑπὲρ κρατῆρος μέγε-
»θος κρεμαμένης ἀντικρὺ τῆς αὐτοῦ προκύψεως, κατά τινα Θεοῦ οἰκο-
»νομίαν συνέβη, ταύτην ὕδατος καὶ ἐλαίου κοινὴν καταλειφθῆναι, καὶ
»πραχρῆμα θείου φωτὸς ἐμπλησθῆναι μή τε μὴν θρυαλλίδος προσούσης

ΕΘΝΙΚΟΝ ΑΡΧΑΙΟΛΟΓΙΚΟΝ ΜΟΥΣΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΔΑΚΗ

»ἐν αὐτῇ ὁ οὖν φονώδης καὶ δύστηνος Ἀμηραῖος ἐπὶ τῷ τοιούτῳ πα-
»ραδόξῳ θεάματι ἔμεινεν ἔννεός, ὡς καὶ πᾶσιν αὐτὸν ἀριδήλως ἐξειπεῖν,
»πυρὸς δίκην χεῖρα βλέπειν αὐτόν, καὶ διὰ ταύτης ταῦτα τὰ παράδοξα
»καὶ ἐξαίσια ἐπιτελεῖσθαι· τὸ δὲ κατὰ τὸν δρακόντιον σταυρὸν ἔτι παρά-
»δοξον τελεσθέν, μὴ τοῖς πολλοῖς ψεύδους ἐχόμενον νομισθῇ, ἐπ' οὐδενὶ
»γὰρ ἑτέρῳ τὴν ἐμὴν ἁμαρτωλὸν συνείδησιν ἀνατίθημι, εἰμὴ ἐπὶ τῷ
»ἀκοιμήτῳ ὀφθαλμῷ τῷ τὰ βάθη τῆς διανοίας ἐρευνῶντι ἐφ' ᾧ γὰρ τῶν
»ἐν τῷ δεξιῷ μέρει δρακοντίων τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, ὄντων,
»εἰς τὸν ἐν τῇ κεφαλῇ αὐτὸν ἐμφερόμενον σταυρόν, ἀστὴρ ἀναφανεὶς ἐν
»τῷ μέσῳ ἡλιοδῶς περιήστραπτεν, οὐ μετ' οὐ πολὺ δὲ εἰς τέσσαρα διαι-
»ρεθείς, σταυροειδῶς ἀνεφαίνετο ἐξαστράπτων, ὡς ἐπ' αὐτὸν συνδραμεῖν
»ἅπαντας, καὶ νικητηρίους ὕμνους ἀνακράζειν, τῷ τὰ ἡμέτερα οἰκονο-
»μοῦντι Θεῷ, οὐδὲν ἀλλ' οἶμαι τοῦτο δηλοῦν, ἀλλ' ἢ ὡς τῆς ἐν Θεῷ
»πιστῆς ἁγίας βασιλείας σου τὸ κραταιόν, καθυποτάξει μὲν τὸν στηγη-
»τὸν Ἰσμαήλ, ἀμαυρώσει δὲ καὶ τὴν τῶν Ἀγαρηνῶν μισαρὰν θρησκείαν,
»καθὰ τοῦτο καὶ παρὰ τῶν βεβήλων καὶ ἐναγῶν Ἀγαρηνῶν ὡμολο-
»γῆται· ὁ διὰ σταυροῦ Θεὸς τὰ νικητήρια δοὺς τῷ ἐν βασιλεῦσιν ἀοιδίμῳ
»Κωνσταντίνῳ, τὸ ὁμώνυμον καὶ ὁμότροπον δωρησάμενος· τῇ δι' ἀστέ-
»ρος μηνυθείσῃ ἁγίᾳ βασιλείᾳ σου, αὐτὸ καὶ ναοῦ καθυποτάξαι, κρά-
»ταιῶσαι, καὶ ἐνισχύσαι δέσποτα ἐπὶ παντὸς ἔθνους κεφαλὴν ἐν σοὶ ἀπο-
»καθιστῶν τῆς σιδηρᾶς βασιλείας τὸ κράταιόν.»

Ταῦτα ὁ ἐν κληρικοῖς ἐλάχιστος Νικήτας, Γραφῇ παραδέδωκα ἔτος Ἀδὰμ ς'. υ'. ν'. ε'.

Ἐκτενεστέρα ἀπόδειξις περὶ τῆς ἀληθείας τοῦ ἁγίου φωτὸς παρὰ ῥώσσου ἡγουμένου Δανιήλ. Ὅρα ἐν τῷ προσκυνηταρίῳ ἁγίας Γῆς. Ἐν τῇ περὶ τελετῆς περιγραφῇ ἁγίου φωτός, σελ. 237.

Ἐκ τῶν θαυμάτων δὲ ἀναφέρω πρῶτον τὸν μέγαν αὐτοκράτορα Θεοδόσιον· οὗτος ὅτε ἦλθεν εἰς Ἱεροσόλυμα ὡς ἁπλοῦς πολίτης διὰ νὰ προσκυνήσῃ τὸν Πανάγιον Τάφον, καὶ τὰ λοιπὰ προσκυνήματα, συνέβη τὸ ἑξῆς ὡς λέγει ὁ Κεδρηνὸς καὶ ὁ Ἱεροσολύμων Δοσίθεος, ὅτε ἦλθεν εἰς τὸν ναὸν τῆς Ἀναστάσεως καὶ ἔκρουσε τὴν θύραν, πάραυτα ἤνοιξεν ὁ θυρωρὸς αὐτήν, καὶ ἀφ' οὗ ἔθηκεν ὁ αὐτοκράτωρ τὸν πόδα αὐτοῦ ἔνδον τοῦ ναοῦ, εὐθὺς ἐξῆλθεν ἀστραπὴ ἐκ τοῦ Παναγίου Τάφου τοῦ Σωτῆρος καὶ φωτισθεὶς ὅλος ὁ Ναὸς αὐτομάτως ἤναψαν ὅλαι αἱ λυχνίαι καὶ αἱ λαμπάδες τοῦ Ναοῦ.

Δευτέρα ἀπόδειξις εἶναι ὁ ἐν τῇ ἁγίᾳ Πύλῃ τοῦ Ναοῦ τῆς Ἀναστάσεως ὁ ὁρώμενος μέχρι σήμερον καὶ διερραγισμένος ἀπὸ ἄνωθεν ἕως κάτω κίων ἐκ τοῦ ὁποίου ἐξῆλθε τὸ ἅγιον φῶς, καὶ ὄχι ἐν ἀρχαίοις καιροῖς,

ἀλλ' ἐν καιρῷ τοῦ φιλολάου Σουλτὰν Μουρὰτ βασιλεύοντος ἐν Κωνσταντινουπόλει τὸ 1580 ἐπὶ Σωφρονίου πατριάρχου Ἱεροσολύμων· ἔδωκαν οἱ Ἀρμένιοι τῷ ἡγεμόνι τῆς Ἱερουσαλὴμ ἱκανὰ χρήματα διὰ νὰ ἐμποδίσῃ τὸν πατριάρχην καὶ τοὺς ὀρθοδόξους ἀπὸ τοῦ νὰ εἰσέλθωσιν εἰς τὸν Ναὸν τῆς Ἀναστάσεως· καὶ πράγματι ὑπ' αὐτοῦ ἐμποδίσθησαν οἱ ὀρθόδοξοι χριστιανοὶ τὸ Μ. Σάββατον τὸ νὰ εἰσέλθωσιν ἐντὸς τοῦ Ναοῦ. Οἱ δὲ Ἀρμένιοι ἐκλείσθησαν μόνοι των ἐντὸς τοῦ Ναοῦ· ἀλλ' ἅμα ἦλθεν ἡ ὥρα, ὦ τῶν θαυμασίων σου Χριστὲ βασιλεῦ! ἐσχίσθη ὁ ἀνωτέρω ῥηθεὶς κίων καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ ἅγιον φῶς, εὐθὺς ὡς ἤναψεν ὁ πατριάρχης τὰ κηρία καὶ διένειμε τῷ λαῷ τὸ ἅγιον φῶς, ἤνοιξαν οἱ Ὀθωμανοὶ φύλακες τὴν θύραν τοῦ Ναοῦ, καὶ εἰσῆλθεν ὁ πατριάρχης μὲ ὅλον τὸ πλῆθος ψάλλοντες τό: «τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν» καὶ ἐώρτασαν τὸ Πάσχα λαμπρῶς· οἱ δὲ Ἀρμένιοι κατησχύνθησαν, τότε δέ, ἕνεκα τούτου τοῦ θαύματος εἷς ἐκ τῶν φυλάκων τῆς ἁγίας Πύλης καλούμενος Ἐμήρης βλέπων τὸ θαῦμα, ὡμολόγησε μεγαλοφώνως τὸν Χριστὸν υἱὸν Θεοῦ. Οἱ δὲ συνάδελφοι αὐτοῦ ἀκούσαντες ὅτι ὡμολόγησε τὸν Χριστὸν υἱὸν Θεοῦ, καὶ θυμωθέντες ἔδωκαν αὐτὸν τῷ πυρὶ ἐντὸς τῆς ἁγίας αὐλῆς, καὶ οὕτω ἔδωκε μαρτυρικὸν θάνατον.

Τρίτον. Κατὰ τὸ 1799 ἐπὶ Ἀνθίμου πατριάρχου ὅτε ἦλθεν ὁ Βοναπάρτης εἰς Ἰόππην, οἱ ἐν Ἱεροσολύμοις ἄραβες φοβηθέντες ὑπὸ τῶν ἐφεστώτων δεινῶν καὶ ἀγριωθέντες, (1,000) χριστιανοὺς ὀρθοδόξους καὶ πολλοὺς ἐκ τῶν ἄλλων φυλῶν κατέκλεισαν ἐν τῷ Ναῷ τῆς Ἀναστάσεως ἐπὶ τέσσαρας μῆνας, λόγῳ μὲν, μήπως οἱ χριστιανοὶ ἑνωθέντες μετὰ τοῦ στρατοῦ τῆς Γαλλίας καταπολεμήσωσιν αὐτούς, ἔργῳ δὲ ἐπὶ τῷ διαρπᾶσαι τὰ τῶν Μοναστηρίων. Προσέτι δῆλον γίνεται ἔκ τινος χειρογράφου τοῦ ἀοιδίμου Νεοφύτου τὰ ἑξῆς γεγονότα, ἅτινα ἐγένοντο κατὰ τὴν διαμονὴν αὐτοῦ ἐντὸς τοῦ Ναοῦ, ὅτι τῇ 19 Φεβρουαρίου, ἡμέρᾳ Σαββάτῳ ὥρᾳ 9ῃ τῆς ἡμέρας, εἷς ἐκ τῶν διαμενόντων ἐντὸς τοῦ Ναοῦ χριστιανῶν, εἰσῆλθεν εἰς τὸ ἅγιον κουβούκλιον ἵνα προσκυνήσῃ, ἐν ᾧ δὲ προσηύχετο αἴφνης εἶδε θαυμασίως ἐπὶ τὸν Πανάγιον Τάφον τοσοῦτον φῶς ὥστε ὁ μὲν Ἅγιος Τάφος ἐπληρώθη ἐξ ἐκείνου τοῦ φωτός, αὐτὸς δ' ἔμεινεν ἐν μέσῳ τοῦ φωτὸς ἐπί τινας στιγμὰς καὶ ἀπὸ φόβου ὑπερβολικὸν ἐξελθὼν ἀμέσως ἔκραζε τοσοῦτον μεγαλοφώνως, ὥστε πάντες οἱ ἐν τῷ Ναῷ ἐκπλαγέντες ἐπὶ τῇ φωνῇ αὐτοῦ ἔδραμον ἵνα ἴδωσι τὸ ἐξαίσιον τοῦτο θαῦμα, καὶ πράγματι ἰδόντες αὐτὸ ἔρριξαν καὶ μετὰ χαρᾶς καὶ φόβου προσεκύνησαν τὸν Τάφον, καὶ δακρυῤῥοοῦντες εὐχαριστηρίους δοξολογίας τῷ Θεῷ ἀνέπεμψαν. Ἄλλοτε τῇ 23ῃ τοῦ αὐτοῦ μηνὸς ὥρᾳ 7ῃ τὸ ἅγιον φῶς αὖθις ἐφάνη ἐπὶ τοῦ θεοδέγμονος τάφου καὶ πάλιν τῇ 15ῃ Μαρτίου

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ
ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ὥρᾳ 6ῃ περὶ μεσημβρίας μύρον ἀνέβλησεν ἐπὶ τοῦ Παναγίου Τάφου τοσοῦτον εὐῶδες, ὥστε ὅλος ὁ πανσέβαστος ἐκεῖνος Ναὸς ἐπληρώθη τῆς ἀῤῥήτου ἐκείνης καὶ θαυμαστῆς εὐωδίας· καὶ τελευταῖον τῇ 20ῇ τοῦ αὐτοῦ μηνὸς ἡμέρᾳ Κυριακῇ ὥρᾳ 3ῃ τὸ πανάγιον φῶς ἐπέλαμψεν ἐπὶ τοῦ ζωαρχικοῦ μνήματος τὸ ὁποῖον οὐ μόνον κατὰ τὴν Κυριακήν, ἀλλὰ καὶ ἄλλας τρεῖς ἡμέρας κατὰ συνέχειαν ἐφαίνετο, ἤτοι τὴν ἡμέραν Δευτέραν περὶ ὥραν 7ην, ἡμέραν Τρίτην περὶ ὥραν 3ην, καὶ τὴν Τετάρτην ἡμέραν ὥραν 6ην τῆς νυκτός.

Πάντες οὖν ἰδίοις ὀφθαλμοῖς τοσαῦτα ἰδόντες φόβου τε καὶ χαρᾶς μεγάλης πλησθέντες κατ' ἀρχὰς μέν, ἐπειδὴ δὲ ἦσαν περφυλακισμένοι ἐν τῷ ναῷ πολὺ ἐλυπήθησαν· ἀλλ' ἔπειτα ἀξιωθέντες τοιούτων θείκων δωρεῶν καὶ χαρίτων, ἐχάρησαν μεγάλως καὶ εὐχαρίστησαν τῷ Θεῷ διὰ τὴν ἱερὰν φυλακὴν, διότι ἐξελθόντες ἐκ τῆς θείας φυλακῆς ἐγένοντο διαπρύσιοι κήρυκες τῶν τοιούτων θαυμασίων γεγονότων· ταῦτα δὲ καὶ ἡμεῖς παρ' αὐτῶν ἀκούσαντες καὶ πληροφορηθέντες ἐγράψαμεν· κἀγὼ δὲ ἐνοτιζόμενος ὅτι τὸ ἅγιον φῶς καὶ τυφλοῖς ἐχαρίσατο τὸ βλέπειν. Μὴ φανῶσι δὲ ταῦτα οὐδόλως εἰς τοὺς εὐσεβεῖς ἀπίστευτα· διότι ἀδελφοί μου ἐν Χριστῷ ἂν καὶ παράδοξα ἡμῖν ταῦτα φαίνονται, ὅμως εἰς τὰ θαυμασίως τελεσθέντα καὶ τελούμενα ὑπὸ τοῦ Κυρίου, οὐχ ὑπάρχῃ ἀμφιβολία διότι «ὅπου Θεὸς βούλεται νικᾶται φύσεως τάξις,» καὶ ὅτι οὐδὲν ἀνθίστανται τῷ θελήματι τοῦ Θεοῦ· καθὼς εἰς ἓξ ἡμέρας ἐκ τοῦ μηδενὸς ἐδημιούργησε τὸν Κόσμον, καὶ τὸ ἄπειρον φῶς ἐχάρισεν ἡμῖν, καὶ τὸ τελειότατον τῶν πλασμάτων τὸν ἄνθρωπον ἔπλασεν, ὥστε νὰ σκέπτηται καὶ νὰ διανοῆται θαυμάσια καὶ σοφὰ, ἵνα ἀναβαίνῃ διὰ τοῦ νοὸς εἰς τὸν οὐρανὸν καὶ νὰ καταβαίνῃ μέχρι τῆς ἀβύσσου νὰ ἐφευρίσκῃ τρόπους ἤ μηχανὰς, δι' ὧν νὰ γίνηται κύριος καὶ βασιλεὺς πάντων, καὶ νὰ δοξάζῃ τὸν Πλάστην καὶ φωτοπάροχον Θεόν, τὸν δοξασθέντα ἐν τῇ ῥάβδῳ τοῦ Μωϋσέως, ἐν τῇ κηβωτῷ τῆς Διαθήκης, ἐν τῇ Μιλωτῇ τοῦ Ἠλιοῦ, ἐν τῷ κηρύγματι τῶν Ἀποστόλων, ἐν ταῖς εἰκόσι καὶ ἱεροῖς λειψάνοις τῶν ἱερῶν Μαρτύρων καὶ πάντων τῶν Ἁγίων. Οὕτω καὶ αὐτοὶ οἱ εὐαρεστήσαντες ἐν γῇ τὸν Ὕψιστον δοξάζονται νῦν ἐν οὐρανοῖς παρὰ τοῦ μισθαποδότου Θεοῦ· διότι ἀπὸ ἀρχαιοτάτων ἤδη χρόνων μέχρι τοῦδε διὰ μέσου τῶν θείων εἰκόνων καὶ ἱερῶν λειψάνων, ἡ θεία χάρις ἐνήργει καὶ ἐνεργεῖ πλεῖστα θαύματα διὰ τοὺς ἀπίστους καὶ ἀσεβεῖς ἵνα πιστεύσωσι καὶ προσέλθωσιν εἰς τὴν εὐσέβειαν διότι τὰ θαύματα φέρουσι τὸν ἀσεβῆ εἰς εὐσέβειαν καὶ τὸν ἄπιστον ποιοῦσιν εὐλαβῆ καὶ πιστόν, καὶ οὕτω ἀξιοῦνται τῆς θείας χάριτος. Διὸ ὅπως ὁ Θεὸς ὁ δοτὴρ τῶν ἀγαθῶν ἔδωκεν τοῖς ἁγίοις αὐτοῦ τὴν χάριν, ἵνα θαυματουργῶσιν, οὕτω καὶ ὁ Πανάγιος αὐτοῦ Τάφος ἐνεργεῖ διὰ τῆς θείας χάριτος τοσαῦτα θαυμάσια διὰ τὴν σωτηρίαν ἡμῶν.

ΠΑΡΟΡΑΜΑΤΩΝ ΔΙΟΡΘΩΣΙΣ

Σελὶς	στίχ.		ἀντὶ	γράφε
6	»	16	ἐνανθρώπισιν	ἐνανθρώπησιν
7	»	12	ἐνανθρωπίσαντα	ἐνανθρωπήσαντα
»	»	24	προσινεῖ	προσηνεῖ
13	τροπάρ.	ε'.	Θεῷ νῦν	τῷ Θεῷ νῦν
17	»	ϛ'.	ὁ Θεὸς δὲ ζώσῃ	ὁ Θεὸς σὲ ζώσῃ
18	»	γ'.	ὡς μῦρος εὐῶδες	ὡς μῦρον εὐῶδες
24	»	α'.	ταῖς φωταυγαῖς ἀστραπαῖς	ταῖς φωταυγέσιν ἀστραπαῖς
25	»	ϛ'.	καταβάλλοντι	καταβαλόντι
31	στίχ.	20	κατεδαφίζοντο	κατηδαφίζοντο
32	»	9	εἰς τὸ πέρας τοῦ θυσιαστηρίου	εἰς τὸ κέρας τοῦ θυσιαστηρίου
42	τροπάρ.	ϛ'.	ἐν ὕμνοις πνευματικῶς	ἐν ὕμνοις πνευματικοῖς
»	»	ε'.	ὡς πλουσίως	ἂς πλουσίως
»	»	»	εὐῶδες ὀσμαῖς	εὐώδει ὀσμῇ
60	»	δ'.	εὐῶδες ὀσμαῖς	εὐώδει ὀσμῇ
62	»	δ'.	Θεόδωρον ἀοίδιμον	Θεόδωρον τὸν ἀοίδιμον
63	στίχ.	1	ἀναδυσάμενον	ἀναδησάμενον
68	τροπάρ.	ϛ'.	Λύμην καρδίας	Λύμην τῆς καρδίας
70	»	ε'.	ὁ ἄριστος πρύτανις	ἄριστος ὁ πρύτανις
75	»	γ'.	Ῥήμασιν ὡς θειοτάταις πυρίναις πύλας,	Ῥήσεσι θειοτάταις πυρίναις πάλαι,
78	»	ϛ'.	δὲ ζώσῃ φωνῇ	σὲ ζώσῃ φωνῇ
105			Πρόλογος ἄνωθεν τοῦ «Ὦ Θεὲ τῶν ὅλων» «Ἡ Ζωὴ ἐν Τάφῳ»	
107	τροπάρ.	γ'.	τὸν Θεὸν τὸν ἀπρόσιτον	Θεὸν τὸν ἀπρόσιτον
123	»	γ'.	φωτολαμπὴν	φωτολαμπῆς
»	»	»	προεδείκνυε	προεδείκνυες
145	»	ε'.	ὑπερυψοῦτε	ὑπερυψούτω
»	»	ϛ'.	ὑπερυψοῦτω	ὑπερυψούτω
152	»	ϛ'.	θερμῶν	θερμῶς

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΕΚΔΟΤΗΡΙΟΝ ΠΑΠΑΔΡΑΚΟΥ

2/50

ΑΚΟΛΟΥΘΙΑ ΕΟΡΤΑΣΙΜΟΣ

ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΑΥΓΟΥΣΤΙΝΟΝ

ΕΠΙΣΚΟΠΟΝ ΙΠΠΩΝΟΣ

ΥΠΟ
ΙΩΑΝΝΟΥ ΔΑΝΙΗΛΙΔΟΥ
ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΚΑΙ ΠΝΕΥΜΑΤΙΚΟΥ
ΑΓΙΟΡΕΙΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΓΡΑΦΕΙΟΝ "ΕΦΗΜΕΡΙΔΟΣ ΤΩΝ ΕΡΓΑΤΩΝ,,
ΙΩΑΝΝΟΥ Ν. ΤΣΟΡΩΝΗ
1914

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΧΟΛΗ ΣΤΡΑΤΗΓΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΑΦΙΕΡΟΥΤΑΙ

ΕΙΣ ΤΗΝ ΠΟΛΥΑΓΑΠΗΜΕΝΗΝ ΜΟΥ ΚΑΙ ΦΙΛΤΑΤΗΝ ΜΙΚΡΑΝ

ΑΥΓΟΥΣΤΙΝΑΝ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΕΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΑΚΟΛΟΥΘΙΑ ΕΟΡΤΑΣΙΜΟΣ

ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΑΥΓΟΥΣΤΙΝΟΝ

ΕΠΙΣΚΟΠΟΝ ΙΠΠΩΝΟΣ

Εἰς τὸν Ἑσπερινὸν μετὰ τὴν Α΄. Στάσιν τοῦ Ψαλτῆρος ἱστῶμεν στίχ. η΄. καὶ ψάλλομεν.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Θεολόγον τὸν κράτιστον, συγγραφέα τὸν ἄριστον, καὶ ῥητόρων πάντων τὸ ἐγκαλλώπισμα, τὸν Αὐγουστῖνον ὑμνήσωμεν, ἐν ᾄσμασιν ἅπαντες καὶ ᾠδαῖς πνευματικαῖς, πρὸς αὐτὸν ἀνακράζοντες, Πάτερ Ἅγιε, παρρησίαν ὡς ἔχων, τὴν Τριάδα, ὑπὲρ πάντων ἐκδυσώπει, τῶν ἐκτελούντων τὴν μνήμην Σου.—Δίς.

Ὁ γινώσκων τὰ μέλλοντα, Αὐγουστῖνε Θεσπέσιε, προειδὼς καρδίας Σου τὴν εὐθύτητα, ἐκ τοῦ βυθοῦ ἁφαρπάζει Σε, σοφῶς τῶν αἱρέσεων, ταῖς εὐχαῖς τῆς Σῆς Μητρὸς, καὶ Ἱππῶνος καθίστησι, Ποιμενάρχην τε, καταυγάζων ἐκεῖθεν ταῖς ἀκτῖσι, τῶν Σῶν λόγων Θεοφάντορ, τῆς Οἰκουμένης τὰ πέρατα.

Τὸν Δαβὶδ ἐκμιμούμενος, Αὐγουστῖνε μακάριε, τὴν στρωμνήν Σου ἔβρεχες ἐν τοῖς δάκρυσιν, ἀναπεμπάζων τὰ πρότερον τοῦ βίου Σου, Ἔνδοξε, ὀλισθήματα δεινά, καὶ ἐβόας ἑκάστοτε τῷ Κυρίῳ Σου, ἐκ μυχίων καρδίας, ἄνες, ἄφες· ἁμαρτάδων μου τὸ χρέος, ὡς πολυεύσπλαγνος Δέσποτα.

Ἕτερα. *Ἦχος πλ. δ΄.* Ὦ τοῦ παραδόξου θαύματος:

Χάριν εἰληφὼς τοῦ Πνεύματος, ἀναγεννήσει σοφὲ, τῇ τοῦ θείου Βαπτίσματος, ταύτην διετήρησας, ἀμιγῆ καὶ ἀμείωτον· ἀλλὰ καὶ πλείω, ταύτην ἐπηύξησας, τοῖς Σοῖς ἱδρῶσι καὶ ἀγωνίσμασιν ὅθεν καὶ γέγονας, τῆς Τριάδος ὄργανον πανευσεβὲς, Αὐγουστῖνε Ἔνδοξε, καὶ ἐνδιαίτημα.—Δίς.

Βλέπων ὁ σοφὸς Ἀμβρόσιος, τὸν κατὰ χάριν Υἱόν, Σὲ ὁσίως ὑψούμενον, Αὐγουστῖνε Ἔνδοξε, ταῖς τοῦ Πνεύματος λάμψεσι, καὶ ζήλῳ Θείῳ ἀεὶ φλεγόμενον. καὶ τῆς Τριάδος οἶκον γενόμενον, σφόδρα ἠγάλλετο, καὶ Θεὸν ἐδόξαζε, τὸν θαυμαστῶς ἐκ βυθοῦ ἑλκύσαντα, τῆς ἀπογνώσεως.

Παῦλον τὸν μέγαν μιμούμενος, νυχθημερὸν ὡς αὐτὸς, οὐκ ἐπαύσω τὰ κρείττονα πᾶσιν ἐνδεικνύμενος, διϋλίζων σαφέστατα· τῆς ἀληθείας, πλάνης τὰ φάσματα, καὶ τρίβου Θείας ἐχθροῦ τὰ ἔνεδρα, γνώστης ὡς ἄριστος, καὶ σοφὸς Διδάσκαλος, ποδηγετῶν πάντας πρὸς εὐσέβειαν, καὶ βίον ἔνθεον.

Δόξα. *Ἦχος πλ. δ΄.*

Δεῦτε πιστοί, τῆς εὐσεβείας τὸν κήρυκα καὶ Ἐκκλησίας τὴν στήλην, τῶν Θεολόγων τὸ εὖχος, τῆς εὐστροφίας τὴν γλῶτταν, καὶ τῶν ἐνθέων νοημάτων τὸ πέλαγος, εὐφημιήσωμεν σήμερον, ἐν ᾄσμασι πνευματικοῖς, τὸν μέγαν Ἱεράρχην, Αὐγουστῖνον τὸν Ἔνδοξον. Οὗτος γὰρ διὰ τῆς ἐμπόνου μετανοίας, καὶ ἀενάου τῶν δακρύων ροῆς, διὰ τῆς τῶν προσκαίρων ὑπεροψίας καὶ τῶν μελλόντων ἐφέσεως, ὑπερήρθη τοῦ γηΐνου φρονήματος καὶ τὴν ἀκρώρειαν τῆς τοῦ Θεοῦ ἀγάπης κατέφθασε· διὸ καὶ φῶς γέγονε τῇ τοῦ Πνεύματος χάριτι, φωτίζων τοὺς ἐμφρονας τοῖς θεοσόφοις αὐτοῦ συγγράμμασι· νῦν δὲ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφει· ἐκ Παρθένου γὰρ ἀγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν, μετὰ τῆς προσλήψεως, εἷς ἐστὶν Υἱὸς, διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττον-

ΙΔΡΥΜΑ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΧΟΛΗ ΠΑΤΕΡΩΝ

τε·, ὁμολογοῦσιν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Παροιμιῶν τὸ ναγάνωσμα (*).

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας· δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτὴν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγατώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ, Ὅτι ὁ πάντων δεστότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει· δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδὲν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὸ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσει με ἐν γνώσει, καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς.

(*) Τὸ παρὸν ἀνάγνωσμα ἐκ τῶν Παροιμιῶν μέν τοῦ Σολομῶντός ἐστιν, ὡς καὶ τὰ ἑφεξῆς δύο ἐκ τῆς Σοφίας τοῦ αὐτοῦ, οὐ συγκροτεῖται ὅμως ἡ ὅλη περικοπὴ αὐτῶν κατὰ σειρὰν τῶν ἑδαφίων τούτου, ἢ ἐκείνου τοῦ κεφαλαίου, ὡς σημειοῦνται ἐν ἀρχῇ, ἀλλ' εἰσὶν ἡρανισμένα ἔνθεν κακεῖθεν, κατ' ἐκλογὴν τῶν ἑδαφίων, πρωθύστερα τὰ πολλά.

Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Ἐγκωμιαζομένου δικαίου, εὐφραν-θήσονται λαοί· ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται, καὶ παρ' ἀνθρώποις, καὶ ἀρετὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ' ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἔστι, καὶ τῶν σοφῶν διορθωτής· καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις, καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία· ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καὶ Προφήτας κατασκευάζει. Εὐτρεπεστέρα δέ ἐστιν ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν· φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐρρύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα πάντων ἐστὶν ἡ εὐσέβεια, καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ' οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς· Καταδυναστεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίους· ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρὺς ἐστιν ἡμῖν καὶ βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων. Ἴδωμεν οὖν, εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ἴβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν, ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδὲ ἔλπισαν, ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων καὶ θανάτου τὴν ἐξουσίαν, καὶ σώζων ἐν καιρῷ θλίψεως καὶ ῥυόμενος ἐκ παντὸς κακοῦ· ὁ οἰκτίρμων καὶ ἐλήμων, καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάτοις ἀντιτασσόμενος.

Εἰς τὴν Διτήν, Στιχηρὰ Ἰδιόμελα, Ἦχος α'.

Τῆς μετανοίας τὸν κήρυκα καὶ ἔμπρακτον ὑπόδειγμα ταύτης, τὸν ἔρμαιον γεγονότα τοῦ παμπονήρου διαβόλου διὰ τῆς τῶν ἠθῶν παρατροπῆς καὶ τοῦ πτώματος τῶν αἱρέσεων Αὐγουστῖνον τὸν θεῖον, δεῦτε ἅπαντες ὑμνήσωμεν προφρόνως. Οὗτος γὰρ ὁ μέγας, Ἀδελφοί, εἰ καὶ πρὸς καιρὸν ἐνεπαίχθη ὑπὸ τοῦ δολίου, ἀλλ' ὅμως ἐπανελθὼν ὅθεν ἐκπέπτωκεν, ἀντέπαιξεν αὐτὸν καὶ εἰς τέλος κατέβαλεν ἐκδηλώσας αὐτοῦ τὰς πάγας ἁμαρτωλοῖς καὶ δικαίοις· καὶ νῦν πρεσβεύει στεφηφόρος ἐν Οὐρανῷ σὺν τοῖς λοιποῖς Ἱεράρχαις, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος. δ'.

Ὁ τῆς Ἄννης τὰ δάκρυα μὴ παραβλέψας, καὶ τῶν προσευχῶν τῶν Δικαίων ἀεὶ ἐπακούων Κύριος, Αὐτὸς τῆς Σῆς Μητρὸς, ἐπιβοώσης ἐν κλαυθμῷ καὶ τοῦ Ἁγιωτάτου Σιλβέστρου θερμῶς ὑπὲρ Σοῦ προσευχομένου, τοὺς πόνους οὐ παρεῖδεν· Ὅθεν διήγειρέ Σοι τὸν τῆς συνειδήσεως ἔλεγχον, καὶ πιεζόμενος ἔσωθεν προσέπεσας ἐν κατανύξει πρὸς Αὐτὸν, ζητῶν τὴν τρίβον τῆς ἀληθείας. Διὸ φωνῆς Οὐρανόθεν ἀκήκοας, λεγούσης· «λάβε καὶ ἀνάγνωσ;»· λαβὼν δὲ καὶ ἀναγνούς, ἤκουσας τοῦ Ἀποστόλου Παύλου λέγοντός Σοι· «Ὥρα ἡμῖν ἤδη ἐξ ὕπνου ἐγερθῆναι,....ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους.... καὶ ἐνδυσώμεθα τὸν Κύριον Ἰησοῦν Χριστὸν». Ὅθεν ἐνδυσάμενος Αὐτὸν δ ἀ τοῦ θείου Βαπτίσματος καὶ ἀφομοιωθεὶς Αὐτῷ διὰ τῆς τῶν ἀρετῶν προσκτήσεως, ἀπῆλθες πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. β΄.

Τοῦ προτέρου βίου Σου τὰ προστρίμματα, σφόδρα ὑπερηκόντισαν οἱ ὑπὲρ τῆς εὐσεβείας ἀγῶνες, καὶ οἱ πόνοι τῶν ἀρετῶν, οὓς κατέβαλες, Αὐγουστῖνε μακάριε· Τῆς γὰρ ἐν Καρχηδόνῃ Ἁγίας Τοπικῆς Συνόδου ὑπέρμαχος γέγονας, διελέγξας τοῖς θεοσόφοις λόγοις Σου Πελάγιον καὶ Κελεστῖνον τοὺς κακόφρονας, τοὺς ἀρνουμένους τὴν ἐν τοῖς ἀγαθοῖς ἔργοις σύμπραξιν τῆς θείας χάριτος ἐν τῷ ἀνθρώπῳ, Δονάτον τὸν αἱρετίζοντα καὶ Ἀπιάριον, τὸν ἀνίερον Πρεσβύτερον καὶ πρόδρομον τῶν φρονημάτων τῆς Λυτικῆς Ἐκκλησίας. Ἀλλ', ὦ Πατέρων μέγιστε, ὡς παρρησίαν ἔχων πρὸς Θεόν, μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. *Ἦχος πλ. α΄.*

Δεῦτε, φιλεόρτων τὸ σύστημα πνευματικῶς ἑορτάσωμεν, τὴν ἐτήσιον μνήμην τοῦ Θεοφόρου Πατρὸς ἡμῶν Αὐγουστίνου τοῦ Ἐνδόξου καὶ μελῳδικῶς πρὸς Αὐτὸν ἐκβοήσωμεν λέγοντες· Χαίροις τῆς Ὀρθοδόξου Ἐκκλησίας ὁ φωστήρ, πεπλανημένων ὁ ὁδηγός, εὐδρομούντων ὁ ποδηγέτης καὶ μετανοούντων ἡ χειραγωγία. Πρέσβευε, θεόσοφε Ἱεράρχα, τῷ ἐλεήμονι Θεῷ ὑπὲρ τῶν ἐκτελούντων τὴν φωτοφόρον καὶ σεβάσμιον μνήμην Σου.

Καὶ νῦν. *Μακαρίζομέν Σε.*

Εἰς τὸν Στίχον. *Ἦχος πλ. α΄.* Χαίροις ἀσκητικῶν.

Χαίροις Θεολογίας ὁ νοῦς, ὁ τῶν Γραφῶν ἑρμηνευτὴς καὶ Διδάσκαλος, φωστὴρ ὁ τῆς Ἐκκλησίας, τῶν Ὀρθοδόξων Ποιμήν, ὁ κηρύξας πᾶσι τὴν εὐσέβειαν, ἡ γλῶσσα ἡ εὔλαλος, ὁ ἡδὺς καὶ πραότατος, αἱρετιζόντων μάστιξ ὄντως ἡ ἔνθεος καὶ πολέμιος· Αὐγουστῖνε μακάριε, μέμνησο τῶν τιμώντων Σου τὴν μνήμην τὴν πάνσεπτον, καὶ γεραιρόντων ἐκ πόθου, καὶ τὸν Χριστὸν ἐκδυσώπησον, τοῦ δοῦναι πταισμάτων, τὴν συγχώρησιν θεόφρον, καὶ μέγα ἔλεος.

Στιχ. Οἱ Ἱερεῖς Σου Κύριε, ἐνδύσονται δικαιοσύνην...

Χαίροις Ἱεραρχῶν καλλονή, Διδασκαλεῖον, τῶν πιστῶν εὐσεβέστατον, ὁ δεικτης τῆς μετανοίας, ἡ τῶν δακρύων πηγή, ἐραστὴς τῆς θείας ἀνατάσεως, ἀγάπης τὸ ἔπαθλον, Ἰησοῦ ὁ ἐράσμιος, ὁ ἐξ ἀγάπης, ἐσαεὶ προσευχόμενος καὶ τερπόμενος, τῶν δακρύων τοῖς χεύμασι· λύχνος ὁ φωταυγέστατος, ὁ φαίνων τὴν σύμπασαν, ταῖς τῶν Σῶν λόγων ἀκτῖσιν, ὁ πρέσβυς ὄντως ὁ ἔνθερμος, ἡμῶν τῶν ἐκ πόθου, τὴν ἐπέτειον Σου μνήμην, ὑμνολογούντων νῦν.

Στιχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη..

Χαίροις ὁ ἀναβάσεις ἀεί, ἐν Σῇ καρδίᾳ, διαθέμενος Ὅσιε, ἁγίας, δι' ὧν ἡ χάρις, ἐπιφοιτήσασα σοί, ἡ τοῦ Παρακλήτου ἐναπέφηνε, παθῶν αὐτοκράτορα, ἀρετῶν ἐνδιαίτημα, καὶ γραμματέα, ὀξυγράφον Πανόλβιε, ἀπορρήτων δέ, μυστηρίων ἐκφάντορα· ἅλας καὶ φῶς παγκόσμιον, καὶ ὄργανον ἥδιον, θεοτερπὲς Αὐγουστῖνε, καὶ πρέσβυν ὄντως θερμότατον, ἡμῶν τῶν ἐκ πόθου, τὴν Σὴν μνήμην ἐκτελούντων, ἐν θείοις ᾄσμασι.

Δόξα. *Ἦχος πλ. β΄.*

Δεῦτε, ἅπαντες πιστοί, τὴν σήμερον ἡμέραν πνευματικῶς ἑορτάσωμεν ἐπὶ τῇ ἐπετείῳ μνήμῃ τοῦ *Τρισμάκαρος* Αὐγουστίνου καὶ χαρμονικῶς πρὸς Αὐτὸν ἐκβοήσωμεν λέγοντες· *Χαίροις*, ὁ τῆς Δύσεως ὄρπυξ καὶ τῆς ἑῴας τὸ καύχημα, χαίροις, ὁ τῆς *Ἀνατολικῆς Ἐκκλησίας*, ὑπέρμαχος καὶ ἀκόλουθος καὶ τῶν φρονημάτων τῆς Δυτικῆς, ὁ μέγας πολέμιος· χαίροις, ὁ τὴν Τριάδα ἐν Μονάδι ὑπάρχουσαν κηρύξας καὶ τὴν Μονάδα ἐν Τριάδι· χαίροις, ὁ τὸν Πατέρα ἀγέννητον εἶναι τρανώσας, τὸν δὲ Υἱὸν ἐκ τοῦ Πατρὸς γεννητὸν καὶ τὸ Πνεῦμα τὸ *Ἅγιον* ἐκ μόνου τοῦ Πατρὸς ἐκπορευόμενον. Ἀλλ', ὦ θεσπέσιε Πάτερ, ὡς τῷ θρόνῳ τῷ Δεσποτικῷ παριστάμενος καὶ παρρησίαν μεγίστην πλουτῶν, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. *Θεοτόκε Σὺ, ἡ ἄμπελος.*

Ἀπολυτίκιον *Ἦχος πλ. α΄.* Τὸν Συνάναρχον λόγον.

Αὐγουστῖνον τὸν μέγαν ἀνευφημήσωμεν, τὸν Ἱεράρχην τὸν θεῖον τῆς Ἐκκλησίας Χριστοῦ καὶ σοφὸν ὑφηγητὴν τῆς ἄνω πόλεως, τὸν Θεολόγον τὸν κλεινόν, προσευχῆς τὸν ἐραστήν, καὶ στήλην τῆς μετανοίας· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα *τὸ αὐτό*, Καὶ νῦν, *Χαῖρε Πόλη Κυρίου.*

Εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν α΄. Στιχολ. *Κάθισμα.*

Τὸν Τάφον Σου Σωτήρ.

Ἀγγέλων οἱ χοροὶ, καὶ Ἁγίων οἱ δῆμοι, εὐφράνθησαν σοφέ, ὅτε αἵ-

ρεσιν πᾶσαν, ἀπέπτυσας καὶ ἔσπευσας, εὐσεβείας τὰ Δόγματα, ἐγκολπώσασθαι, καὶ τὴν ζωήν Σου ῥυθμῖσαι καὶ ἀνύμνησαν, τὴν Παναγίαν Τριάδα, Ἣν πρέσβευε Ἔνδοξε.

Δόξα *τὸ αὐτό*. Καὶ νῦν, *Θεοτοκίον ὅμοιον.*

Μαρία ἡ ἐλπὶς, Χριστωνύμων ἁπάντων, ἡ σκέπη ἡ φρουρός, τεθλιμμένων ὁ ὅρμος, ἡ δόξα ἡ τῆς φύσεως, τῶν βροτῶν δὲ ἡ Σώτειρα, ἡ ἐξάρασα, ἐκ τῆς φθορᾶς τῷ Σῷ Τόκῳ, τὸ ἀνθρώπινον, πρὸς θείαν δόξαν, μὴ λίπῃς, ἡμᾶς περιέπουσα.

Μετὰ τὴν β΄. Στιχ. Κάθισμα. *Κατεπλάγη Ἰωσὴφ.*

Αὐγουστῖνον τὸν σοφόν, τὸν Ἱεράρχην τὸν κλεινὸν εὐφημήσωμεν πιστοί, ὅτι κατέλιπεν ἡμῖν, καθὰ Πατὴρ φιλόπαις, τὴν συγγραμμάτων, πληθὺν Αὐτοῦ· ἐν ᾗ, καλλιγραφεῖ, ἐμφανῶς, τὸν νοῦν τὸν τῆς Γραφῆς, τῆς παλαιᾶς καὶ καινῆς, καὶ τῆς Τριάδος ἄριστα, ἐκθέτει τὰς ἐνεργείας, καὶ Σάρκωσιν, τοῦ Θεοῦ Λόγου, ὡς Θεολόγος, καὶ Θεόπνευστον ὄργανον.

Δόξα *τὸ αὐτό*, Καὶ νῦν, *ὅμοιον.*

Ἐξαπόστειλον ἡμῖν, Θεογεννῆτορ Μαριάμ, Οὐρανόθεν φωτισμόν, εἰς τὰς καρδίας καὶ τὸν νοῦν, φῶς γὰρ τὸ φαῖνον, τὰ σύμπαντα ἐν τῇ γαστρί Σου, ἐβάστασας Ἁγνὴ, ὑτερφυῶς ὑπὲρ νοῦν, διὸ ὡς φωταυγής, καὶ φωτοφόρος Σκηνή, καὶ Θεοῦ Μήτηρ Δέσποινα, ἰσχύεις ὅσα ἐθέλεις Πανύμνητε· διὸ προσφύγων, τῶν Σῶν Παρθένε, πλήρου ἅπασαν αἴτησιν.

Μετὰ τὸν Πολυέλεον. *Κάθισμα.*

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ζῆλος ὁ ἔνθερμος, ἐν Σοὶ ἐγνώρισται, Θεομακάριστε, Πνεῦμα γὰρ Ἅγιον, μετὰ Πατρὸς καὶ τοῦ Υἱοῦ, οἰκῆσαν ἐν Σοὶ ἐξῆττε, τοῦτον· ὅθεν ἀνεδείχθης πολέμιος, Μάνωντος τοῦ ἔκφρονος καὶ Δονάτου ἀθέου τε· καὶ μέγας προμαχὼν εὐσεβείας, Ἔνδοξε Πάτερ Αὐγουστῖνε.

Δόξα, καὶ νῦν, *Ὅμοιον.*

Νύμφη ἀπείρανδρος, καὶ Μήτηρ ἄφθορος, ὑπάρχεις Δέσποινα, καὶ ὑπεράμωμος, τοῦ Οὐρανοῦ δὲ καὶ τῆς γῆς Βασίλισσα καὶ Κυρία· Λόγον γὰρ τὸν Ἄναρχον ὑπὲρ λόγον ἐκύησας· Ὅθεν ὡς Μητρὶ Θεοῦ, πάντα Σοὶ ὑποτέτακται· διὸ ἐκ συμφορῶν καὶ κινδύνων, σῶζε τοὺς ὑμνοῦντάς Σε Κόρη.

Οἱ Ἀναβαθμοὶ τοῦ δ΄. ἦχου· τὸ Προκείμενον. Οἱ Ἱερεῖς σου Κύριε, κ.τ.λ. Πᾶσα πνοή. Εὐαγγέλιον τὸ ἐν τῇ μνήμῃ τοῦ Θείου Χρυσοστ. λεγόμενον. Δόξα ταῖς τοῦ Ἱεράρχου, Καὶ νῦν. ταῖς τῆς Θεοτόκου, καὶ τὸ τροπάριον τὸν πλ. β΄. τῆς Λιτῆς. Τοῦ προτέρου βίου Σου...

Ὁ Κανὼν τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχὶς «Αὐγουστῖνον τὸν Θεῖον ὑμνῶ.» Ἰωάννου Μ Ν.

Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Αὐλῶς τῷ Πνεύματι, τῷ Παναγίῳ ἐνούμενος, Αὐτὸ καθικέτευε, ὦ Αὐγουστῖνε σοφέ, χάριν δοῦναί μοι, φαιδρῶς ὅπως ὑμνήσω, ἐν ᾄσμασι μνήμην Σου, Πάτερ τὴν Ἔνδοξον.

Ὑψώθη τῷ πνεύματι, ταπεινωθεὶς τῷ φρονήματι, Χριστὸν ἐκμιμούμενος, θεομακάριστε· Ὅθεν γέγονας, περίβλεπτος ἐν πᾶσιν, ἐν λόγοις καὶ πράξεσι, καὶ τοῖς συγγράμμασι.

Γεραίρων τὴν μνήμην Σου, χαρᾶς ἁπλέτου ἐμπίπλαμαι, καὶ λόγον ἐρεύγομαι τῷ ἐν Τριάδι Θεῷ, τῷ ἐξάξαντι ἐκ τοῦ βυθοῦ τῆς πλάνης, καὶ φῶς καταστήσαντί σε, Πάτερ παγκόσμιον.

Θεοτοκίον.

Ὄπαλαι προέφητεν, ὁ Ἡσαΐας ἐν Πνεύματι, ἐν Σοὶ ἐκτετέλεσται, θεοκυῆτορ Ἁγνή· ὅτι λήψεται ἐν τῇ γαστρὶ Παρθένος, καὶ ξένως τὸν ἄχρονον, τέξῃ καὶ Κύριον.

Ὠδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.

Ὑπέρμαχος ὤφθης θεορρῆμον, Δογμάτων τῶν θείων τοῦ Χριστοῦ, καὶ στύλος ἀπερίτρεπτος, τῆς Ἐκκλησίας Ἔνδοξε, Ἱεραρχῶν ἀγλάϊσμα, καὶ Ὀρθοδόξων τὸ σέμνωμα.

Συνάψας παιδείᾳ τὴν σοφίαν, τὴν ἄνωθεν Πάτερ ὡς σοφὸς ὄργανον ἐχρημάτισας, τοῦ Παναγίου Πνεύματος, ἐκτραγωδήσας ἄριστα, τὰ θεῖα μεγαλουργήματα.

Τὰ πάθη κατάξας ὡς ἐχέφρων, καὶ νοῦν ἡγεμόνα κατ' αὐτῶν, στησάμενος κατῄσχυνας, τῇ χάριτι τοῦ Πνεύματος, τὸν πτερνιστὴν τὸν πρότερον, δόλῳ σε Πάτερ ζωγρήσαντα.

Θεοτοκίον.

Ἱμείρω Ἁγνὴ τῆς τοῦ Υἱοῦ Σου, τερπνῆς ἐνθυμήσεως τυχεῖν, καὶ ἔχειν ταύτην ἄληστον, ἀεὶ ἐν τῇ καρδίᾳ μου, ἣν δώρησαί μοι Ἄχραντε, ὅπως θερμῶς μεγαλύνω Σε.

Κάθισμα. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν ζηλώσας τὴν τοῦ Θεοῦ, καὶ ἐκ ταύτης πλησθῆναι ἐπιποθῶν, τὸν νοῦν Σου ἐπέστησας, ἐν τοῖς λόγοις τοῦ Πνεύματος, ἀνιχνεύων μάκαρ, ὡς ἔμφρων τὰ κρύφια, καὶ ἀδεὺς ὢν θείως, ψυχῆς Σου τὰς αὐλακας· Ὅθεν ὡσεὶ δένδρον, ἐν ἐξόδοις ὑδάτων, χλοάζον ταῖς πράξεσι, καὶ καρποῦν θεωρήμασιν, ἀνεδείχθης Μακάριε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην Σου.

Δόξα, *τὸ αὐτό*, καὶ νῦν *ὅμοιον*.

Παναγία Παρθένε Μῆτερ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπὰ, θεραπεύσουσα, δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα, μολύνας ὁ ἄθλιος. Οἴμοι! τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; Τότε Δέσποινα βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ δοῦλος σου Ἄχραντε.

ὨΙδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Νάματα θεόρρυτα, Πάτερ σοφέ, αἱ τῶν προσευχῶν βίβλοι χέουσιν, ἅπερ καρδίας, καὶ ψυχὰς τῶν ἐξ αὐτῶν, ἀρδευομένων σιήχουσιν, οἴκους δὲ Θεοῦ ἀπεργάζονται. Ὅλην Σου τὴν ἔφεσιν ἔχων, σοφέ, πρὸς τὸν Ἰησοῦν ἐκ μυχίων σου, ἐν κατανύξει, καρδίας συντριβῇ, τὰς Σὰς εὐχὰς ἐκέκραγες, ἄφεσιν τῶν πρὶν ἐξαιτούμενος.

Νέος Μωϋσῆς, Αὐγουστῖνε σοφέ, δέδειξαι ἐξάξας τὴν Ποίμνην Σου, ἐκ τῆς Αἰγύπτου, τῶν παθῶν καὶ εἰς τὴν γῆν τῶν ἀρετῶν εἰσήγαγες, ταῖς διδασκαλίαις Σου, Ἅγιε.

Θεοτοκίον.

Τὸν ζεζοφομένον μου νοῦν Ἀγαθή, καὶ τῆς διανοίας τὴν πώρωσιν, καὶ τῆς ψυχῆς μου, τὴν νωχέλειαν ταχύ, ὡς συμπαθὴς ἐξίασαι, πάντα γὰρ ἰσχύεις Πανάχραντε.

ὨΙδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ὁ Ἄδυτος Ἥλιος, σὲ ὡς ἀστέρα πολύφωτον, Πάτερ Αὐγουστῖνε κατεστήσας, θεῖον Ποιμένα, τῆς Ἐκκλησίας Αὐτοῦ, ποιμένειν λαὸν τὸν ἐκλεκτόν, μάκαρ, προχειρίζεται, καὶ μεσίτην θερμότατον. Νομὴν τὴν σωτήριον, τὴν Ποίμνην Σου ἐξέθρεψας, τὴν ἐν ταῖς τοῦ Πνεύματος λειμῶσιν, ἣν καὶ προσῆξας τῷ ἐπὶ πάντων Θεῷ, καὶ γέγονας ὡς φησί, Πατὴρ, Θεῖος εὑρεθεὶς, ἐπὶ τέκνοις μακάριε.

Θεῷ εὐηρέστησας, ἐπισκοπεύσας· ἄριστα, Πόλιν εἰς Ἱππῶνα, Αὐγουστῖνε, ἔνθεν δὲ Πάτερ διδασκαλίας τὰς Σὰς, ἐφήπλωσας ὥσπερ ἁλιεύς, πάντας τοὺς ἐγκύπτοντας, ἐν αὐταῖς ἀνορθούμενος.

Θεοτοκίον.

Ἐπάκουσον Δέσποινα, ταχὺ τῶν δεομένων Σου, καὶ μηχανιῶν τῶν τοῦ δολίου, ῥῦσαι καὶ πᾶσι, χειραγωγία γενοῦ, καὶ σθένος πρὸς πᾶσαν ἀρετήν, ὅπως ἀνυμνῶμέν Σε, ὡς προστάτιν καὶ πρόμαχον.

ὨΙδὴ ς'. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ἱεροθύτης ἐγένεσο, ἀναίμακτος τὸν Μόσχον τὸν ἄμωμον, θύων μακάριε, ὡς καθαρὸς καὶ ἀμόλυντος, καὶ θείας κοινωνός τε, γέγονας φύσεως.

Οἱ λόγοι πάντες ἀνάπλεοι, σοφίας τῆς ἐνὸς καὶ τῆς θύραθεν· αὗθις τὰ ἔργα Σου, Ἄγγελοι Πάτερ εὐφήμησαν, ὁ δὲ Χριστὸς τοὺς πόνους, πάντας Σοι ἔστεψε.

Ναὸς Θεοῦ ἐχρημάτισας, καθάρας τὴν ψυχὴν καὶ τὸ σῶμά Σου, καὶ τὴν διάνοιαν, ὅθεν ὡς Ἥλιος ἔλαμψας, αὐγάσας τοὺς ἐν σκότει, παθῶν καθεύδοντας.

Θεοτοκίον.

Ὑψίστου Μήτηρ γεγένησαι, τὸν Λόγον τοῦ Πατρὸς γὰρ ἐγέννησας, τὸν Ὁμοούσιον Ὃν περ Ἁγνὴ καθικέτευε, παθῶν ἐκλυτρωθῆναι, τοὺς Σὲ δοξάζοντας.

Κοντάκιον Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὸ φῶς τοῦ Χριστοῦ, δεχθεὶς ἐν τῇ καρδίᾳ Σου, καὶ φῶς γεγονώς, πιστοὺς ἐφωταγώγησας, τοὺς δὲ ἐχθροὺς κατέφλεξας, τοῖς σοφοῖς Σου Πάτερ συγγράμμασιν, Αὐγουστῖνε μάκαρ Χριστόν, ἀεὶ ἐκδυσώπει, ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος

Ἐκ τοῦ κρατῆρος τοῦ Πνεύματος πλησθεὶς καὶ τὰ βάθη τῆς τοῦ Θεοῦ σοφίας ἐκεῖθεν μυηθείς, γέγονας τοῖς πᾶσι περίβλεπτος, Ποιμὴν δὲ τῆς Ἐκκλησίας προχειρισθεὶς πνευματικοῖς τε

ἄνθεσι τὴν Ποίμνην Σου ἐκθρέψας καὶ πρὸς Θεὸν χειραγωγήσας, ἀπῆλθες πρὸς τὸν Χριστόν, Ὃν ἐκδυσώπει ἀεὶ ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ ιε'. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Αὐγουστίνου, Ἐπισκόπου Ἱππῶνος.

» Ἔρωτι φλεχθεὶς τοῦ Θεοῦ, Αὐγουστῖνε.
» Φωστὴρ ἐδείχθης παμμακάριστος, μάκαρ.
» Ἀμφὶ πέμπτῃ δεκάτῃ θαν' Αὐγουστῖνος περίπυστος.

Ταῖς Αὐτοῦ ἁγίαις πρεσβείαις,
Ὁ Θεός, ἐλέησον ἡμᾶς.

ὨΙδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Μετοχέτευσας, σοφῶς τὸ πρώην φρόνημα, πρὸς τὴν εὐσέβειαν, καθὼς ὁ Παῦλος ποτέ, ὃν Πάτερ μιμούμενος, χαίρων ἐκραύγαζες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Νοῦν νηφάλιον, καὶ ἡγεμόνα Ἔνδοξε, σοφῶς ἐπλούτησας, καθάρας δὲ σεαυτόν, Ναὸς Θεοῦ γέγονας, ᾄδων γηθόμενος, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὡς Ὑπέρμαχος τῆς εὐσεβείας ἔνθερμος, καὶ ὡς Διδάσκαλος καὶ Θεῖος Ἀρχιερεύς, Χριστὸν καθικέτευε, σῶσαι τοὺς ψάλλοντας· Ὑπερύμνητε· ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ῥῶσθαι νῦν, τὸν Σὸν Υἱὸν Θεόνυμφε, ἀεὶ ἱκέτευε, ψυχῆς μου τὴν συντριβήν, καὶ σῶσαι τῶν θλίψεων, ὡς ψάλλω Δέσποινα· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

ὨΙδὴ η'. Παῖδας εὐσεβεῖς.

Ὥσπερ ὁ Δαυῒδ ἐκσφενδονίσας, βολίσι τῶν λόγων Σου μακάριε, πάντας τοὺς τεκταίνοντας, δόλους καὶ σοφίσματα, κατὰ Χριστοῦ τῆς πίστεως, θερμῶς ἐκραύγαζες· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἅπαντα τὰ τείχη τοῦ δολίου, σοφῶς ὑπερεπήδησας Μακάριε, ἔνδον δὲ ἐχώρησας, τῶν νοητῶν ἐπάλξεων, τῇ χάριτι τοῦ Πνεύματος, ᾄδων γηθόμενος· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νάμασι ψυχὰς καὶ τὰς καρδίας, τῶν πόθῳ κυπτόντων, Σοῖς συγγράμασι, καταρδεύεις Ἔνδοξε, καὶ αὐγάζεις ἅμα τε, τὸν νοῦν καὶ τὴν διάνοιαν, τοῦ ψάλλειν πάντοτε· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νεῦσον πρὸς τὴν δέησιν Παρθένε, τῶν πίστει καὶ ταπεινώσει προστρεχόντων Σοι, καὶ πάθη ἀπονέκρωσον, ψυχῆς ὁμοῦ καὶ σώματος, καὶ τῷ Θεῷ οἰκείωσον, τοῦ ψάλλειν πάντοτε, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ὨΙδὴ θ'. Ἅπας γηγενής.

Ὅλως τοῦ Χριστοῦ, ἐκράθης τῷ ἔρωτι, καταυγαζόμενος, Αὐγουστῖνε πάνσοφε, ἀΰλοις λάμψεσι ταῖς τοῦ Πνεύματος, διὸ πρὸς τὰ Οὐράνια, θανὼν ἀνέδραμες, ἀπολαύσων, ὅνπερ ἐπεπόθησας, καὶ ὑμνεῖν σὺν Ἀγγέλων τοῖς Τάγμασιν.

Ὑμνησαν τὴν Σήν, θανὴν πάντες Ἄγγελοι, καὶ τῶν Ἁγίων πληθύς, Αὐγουστῖνε Ἔνδοξε, ἀλλὰ καὶ νῦν τοὺς ὕμνους δεξάμενος, οὗσπερ ἐκ πόθου ἅπαντες θερμῶς προσφέρομεν, Οὐρανίου χάριτος ἀξίωσον, ταῖς θερμαῖς πρὸς Θεὸν ἱκεσίαις Σου.

Δόξα.

Μίαν οἱ πιστοί, Οὐσίαν Θεότητος ἅπαντες σέβομεν, Ἥν ἐν Ὑποστάσεσι, Τρισὶν ἀδιαιρέτως πιστεύομεν, διαιρουμένην μένουσαν αὖθις δὲ ἄτμητον, ὑπὲρ λόγον ὄντως ὑπὲρ ἔννοιαν· Ἥν πιστῶς προσκυνοῦντες δοξάζομεν.

Καὶ νῦν

Νοῦν καὶ τὴν ψυχήν, καρδίαν διάνοιαν, καὶ τὰς αἰσθήσεις μου, νεύρωσον Πανάμωμε, πρὸς θεωρίας ἐνθέους αἴρουσα, καὶ πρὸς Θεοῦ ἀγάπησιν διαβιβάζουσα, καὶ τοῦ πέλας ἅπαντα γὰρ δύνασαι, Θεοῦ Λόγου γεννήτρια πέλουσα.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τῆς χάριτος τὸ τέμενος, τῆς εὐσεβείας πρόμαχον, τῶν Διδασκάλων τὸν κόσμον, τῆς Ἐκκλησίας τὸν λύχνον, τὸν Αὐγουστῖνον ἅπαντες, ἐνθέως εὐφημήσωμεν· τῷ Κτίστῃ γὰρ ἀείποτε, ἱκετηρίους προσάγει, δεήσεις ὑπὲρ τοῦ κόσμου.

Τῆς Θεοτόκου.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη, ἐν ᾗ Πατὴρ ηὐδόκησε καὶ ὁ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπισκιάσαν Σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς Αἴνους. Ἦχος πλ. δ΄.

Ὦ τοῦ παραδόξου θαύματος!

Πάτερ Αὐγουστῖνε Ἔνδοξε, Σὺ τὴν ὁδὸν τοῦ Θεοῦ ἐντολῶν ἐναρξάμενος, ὡς σοφὸς οὐκ ἔδωκας, νυσταγμόν τοῖς βλεφάροις Σου, οὐδ' ὀφθαλμοῖς, δὲ ὕπνον μακάριε, ἕως τὰ πάθη, πάντη ἠφάνισας, καὶ ἐν καρδίᾳ Σου, τὸν Χριστὸν εἰσῴκησας, ὃν ἐσαεί, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν τέκνων Σου. Λίς.

Ὦ τοῦ παραδόξου θαύματος! ζῆλος ὁ θεῖος πιστοί, καὶ ψυχῆς τὸ εὐπρόθυμον, προσευχῆς τὸ σύντονον καὶ δακρύων τὰ χεύματα, εἰς οἷον ὕψος ἐν γῇ ἀνύψωσαν, τὸν Αὐγουστῖνον, μετὰ τὴν θνῆσιν δέ, αὖθις εἰς ἄντυχα τ' οὐρανοῦ ἀνήγαγον, ἔνθα Χριστός, στέφει ἐστεφάνωσεν, Αὐτὸν ὡς εὔσπλαγχος..

Πάτερ Αὐγουστῖνε Ἔνδοξε, περὶ τὸν θρόνον Χριστοῦ, τοῦ Θεοῦ αὐλιζόμενος, σὸν Ἀγγέλων τάγμασι, καὶ Ὁσίων ταῖς τάξεσιν, Ἀρχιερέων ταῖς ὁμηγύρεσι, καὶ τῶν Μαρτύρων τοῖς δήμοις πάνσοφε, πάντοτε πρέσβευε, τὸν Σωτῆρα Κύριον ὑπὲρ ἡμῶν, τῶν πιστῶς τελούντων Σου, τὴν θείαν κοίμησιν.

Δόξα. *Ἦχος πλ. δ΄.*

Τὸν τῶν Ἀποστόλων ὁμότροπον καὶ τῆς Ἐκκλησίας Διδάσκαλον τῆς Οἰκουμένης τὸν φωστῆρα, Ἀρχιερέων τὴν εὐπρέπειαν, Θεολόγων τὸ εὔχος καὶ ὀρθῶν δογμάτων τὸν πρόμαχον δεῦτε γηθοσύνως ὑμνήσωμίν ᾄσμασιν ἐνθέοις, παρρησίαν γὰρ μείζιστην ἔχων πρὸς Θεὸν πρεσβεύει ὑπὲρ τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, *Δέσποινα πρόσδεξαι.*
Δοξολογία Μεγάλη κτλ.
Μεγαλυνάριον.

Ἱεράρχην πάντες τὸν τοῦ Χριστοῦ, καὶ τῶν Θεολόγων σεμνολόγημα καὶ τερπνὸν τοῦ Πνεύματος δοχεῖον, μεσίτην δὲ τῶν πόθῳ, τὴν μνήμην ἐκτελούντων αὐτοῦ ὑμνήσωμεν.

ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ